UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

16. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων
πόντῳ κεκλιμένοι ἑκὰϲ ἥμεθα πατρίδοϲ αἴηϲ·
τῶ ἐν χερϲὶ φόωϲ, οὐ μειλιχίῃ πολέμοιο.
ἦ, καὶ μαιμώων ἔφεπ᾽ ἔγχεϊ ὀξυόεντι.
ὅϲ τιϲ δὲ Τρώων κοίληϲ ἐπὶ νηυϲὶ φέροιτο
ϲὺν πυρὶ κηλείῳ χάριν Ἕκτοροϲ ὀτρύναντοϲ,
τὸν δ᾽ Αἴαϲ οὔταϲκε δεδεγμένοϲ ἔγχεϊ μακρῷ·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοϲχεδὸν οὖτα.

---

# ΙΛΙΑΔΟϹ Π.

Ὣϲ οἳ μὲν περὶ νηὸϲ ἐυϲϲέλμοιο μάχοντο·
Πάτροκλοϲ δ᾽ Ἀχιλῆι παρίϲτατο, ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων ὥϲ τε κρήνη μελάνυδροϲ,
ἥ τε κατ᾽ αἰγίλιποϲ πέτρηϲ δνοφερὸν χέει ὕδωρ.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
τίπτε δεδάκρυϲαι Πατρόκλειϲ ἠύτε κούρη
νηπίη, ἥ θ᾽ ἅμα μητρὶ θέουϲ᾽ ἀνελέϲθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ᾽ ἐϲϲυμένην κατερύκει,
δακρυόεϲϲα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται·

---

V. L. 739 τρῴων L. πεδίῳ: ἐν ἄλλῳ τρώων ὁμάδῳ A. — 741 τῶ ACL: τῷ DGH. τῶν Harl. μειλιχίῃ ACDEH: μειλιχίη G 1. man. LS. — 742 ἤ D. μαιμόων Lips. Vrat. A. — 743 τρῴων L. κοιλὰϲ ἐπὶ νῆαϲ ἄγοιτο G Harl. Flor. ἐπὶ νηυϲὶν ἄγοιτο L. — 744 κελέωι D. ὀτρύνοντοϲ H frgm. Mosc. — 745 ὀξέϊ χαλκῷ CG Mor. Flor. ὀξέϊ δουρὶ E 1040, 13 et 39. Rom. — 746 δὲ ἤ δὴ Eust. οὖτα CGL.

---

A. c. 741 οὕτωϲ ἀρίϲταρχοϲ ϲὺν τῷ ῑ μειλιχίῃ Didymus. μειλιχίη Dionysius Thrax, conf. Schol. AV et Eust. 1040, 36.

---

V. L. 1 ἐΰϲέλμοιο CDE. εὐϲέλμοιο Townl. Vrat. a (sic). b. — 2 ἀχιλῆι H. — 3 μελάνυδροϲ A. — 4 δνοφερὸν: γνοφερὸν S. χέει: χέεν Et. Mg. 27, 44. — 8 μητρὶ κλαίουϲ᾽ Schol. Soph. Trach. 1073. — 9 εἰανοῦ D. — 10 ὄφρ᾽ ἂν ἕληται LS Vrat. b.

---

A. c. 5 ᾤκτειρε: θάμβηϲε Aristarchus. — 10 Ζηνόδοτοϲ δακρυόεϲϲα δέ μιν προϲδέρκεται Didymus.

τῇ ἴκελος Πάτροκλε τέρεν κατὰ δάκρυον εἴβειϲ.
ἦέ τι Μυρμιδόνεϲϲι πιφαύϲκεαι, ἢ ἐμοὶ αὐτῷ;
ἦέ τιν' ἀγγελίην Φθίηϲ ἐξ ἔκλυεϲ οἶοϲ;
ζώειν μὰν ἔτι φαϲὶ Μενοίτιον, Ἄκτοροϲ υἱόν,
ζώει δ' Αἰακίδηϲ Πηλεὺϲ μετὰ Μυρμιδόνεϲϲι,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἦε ϲύ γ' Ἀργείων ὀλοφύρεαι, ὡϲ ὀλέκονται
νηυϲὶν ἔπι γλαφυρῇϲιν ὑπερβαϲίηϲ ἕνεκα ϲφῆϲ;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
τὸν δὲ βαρὺ ϲτενάχων προϲέφηϲ Πατρόκλειϲ ἱππεῦ·
ὦ Ἀχιλεῦ, Πηλέοϲ υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
μὴ νεμέϲα· τοῖον γὰρ ἄχοϲ βεβίηκεν Ἀχαιούϲ.
οἱ μὲν γὰρ δὴ πάντεϲ, ὅϲοι πάροϲ ἦϲαν ἄριϲτοι,
ἐν νηυϲὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδείδηϲ, κρατερὸϲ Διομήδηϲ,
οὔταϲται δ' Ὀδυϲεὺϲ δουρὶ κλυτὸϲ ἠδ' Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλοϲ κατὰ μηρὸν ὀιϲτῷ.
τοὺϲ μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται
ἕλκε' ἀκειόμενοι· ϲὺ δ' ἀμήχανοϲ ἔπλευ Ἀχιλλεῦ.

V. l. 11 ἵκελοϲ CDEGL. κατα ADGHL. — 12 ἦέ A Jo. Alex. 42, 5: ceteri ἠέ. ἢ ἔτι Cram. Ep. 193, 5. ἦέ D. ἢ ἔτι S, cf. O 736. πιφάϲκεαι S Apoll. de Synt. 137, 4. ἢ A Jo. Alex. 42, 5: ceteri ἤ. — 13 ἦέ A Jo. Alex. 42, 6. ἦέ D. ceteri ἠέ. ἔξ ACH. ἐξ G Cant. Townl. Lips. Flor. ἐξέκλυεϲ D 1. man. LS. ἐξ, ἔκλυεϲ D (diastole 2. man. add.). — 14 μὰν: μὲν E. — 15 μετα A. μυρμιδόνεϲϲι ACDGH. — 16 τῶν καὶ D. ἀκαχή$^{\eta}$μεθα CGL Vrat. A. τεθνηώτων CL Cant. Mor. Vrat. A. τεθνει$^{\eta}$ώτων D. τεθν$^{\eta\iota}$ειώτων A. τεθνειώτων EGHS. — 17 ἦε A Jo. Alex. 42, 7: ceteri ἠὲ. — 18 ἐπὶ CDGHL. ἐπι A. ϲφῆιϲ C. — 19 ἐξαῦδα H. — 20 βαρὺ, ϲτενάχων A. βαρυϲτενάχων CDEGL. δ' ἀπαμειβόμενοϲ Rhet. Gr. III, 88, 30. προϲέφη H 1. man. S Barocc. Lips. Vrat. A. d. Πατροκλῆϲ Vrat. d. ἱππεὺϲ H 1. man. S Vrat. d. ἱππεῦϲ Lips. γρ. τὸν δὲ βαρυϲτενάχων προϲέφη πάτροκλοϲ ἱπῶν (sic) G. — 21 πηλῆοϲ L Harl. πηλέωϲ EH Vrat. d. Πηλέωϲ υἱὲ μέγα κῦδοϲ Ἀχαιῶν Plutarchus de Aud. poët. 13. — 23 εἰ μὲν γὰρ G. ἔϲαν G. — 24 νηυϲὶ CDE Lips. — 25 βέβλητο Vrat. A. — 26 ὀδυϲϲεὺϲ G. δουρὶ κλυτὸϲ A: ceteri δουρικλυτὸϲ. — 27 κατα H. — 28 μέν γ' E. μὲν ἰητροὶ L Harl. Lips. εἰητρὸὶ G. ἀμφεπένοντο Eust. 887, 3. — 29 ἕλκοϲ ἀκειόμενον Apoll. Soph. 19, 11. ἀκειάμενοι ACHL Vrat. A. Rom. ἀχϊλεῦ C.

A. c. 12 ἤ ἐμοὶ Apollonius de Pron. 57 B. de Synt. 137, 4. ἤ Herodianus. — 16 διὰ τοῦ η̄ τεθνηιώτων (sic) αἱ ἀριϲτάρχου Didymus. — 21 Πηλέωϲ υἱέ: οὕτωϲ Πτολεμαῖοϲ. οἱ δὲ ὑπομνηματιϲάμενοι Ἰακῶϲ (i. e. Πηλέοϲ) Schol. V. — 25 ἀριϲτοφάνηϲ ἔξω τοῦ ἄρθρου βέβληται μὲν τυδείδηϲ Didymus.

μὴ ἐμέ γ᾽ οὖν οὗτός γε λάβοι χόλος, ὃν cὺ φυλάccειc,
αἰναρέτη. τί cευ ἄλλος ὀνήcεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοιcιν ἀεικέα λοιγὸν ἀμύνηc;
νηλεέc, οὐκ ἄρα coί γε πατὴρ ἦν ἱππότα Πηλεύc,
οὐδὲ Θέτιc μήτηρ· γλαυκὴ δέ cε τίκτε θάλαccα
πέτραι δ᾽ ἠλίβατοι, ὅτι τοι νόοc ἐcτὶν ἀπηνήc.
εἰ δέ τινα φρεcὶ cῇcι θεοπροπίην ἀλεείνειc,
καί τινά τοι πὰρ Ζηνὸc ἐπέφραδε πότνια μήτηρ,
ἀλλ᾽ ἐμέ περ πρόεc ὦχ᾽, ἅμα δ᾽ ἄλλον λαὸν ὄπαccον
Μυρμιδόνων, ἤν πού τι φόωc Δαναοῖcι γένωμαι.
δὸc δέ μοι ὤμοιιν τὰ cὰ τεύχεα θωρηχθῆναι,
αἴ κέ με coὶ ἴcκοντεc ἀπόcχωνται πολέμοιο
Τρῶεc, ἀναπνεύcωcι δ᾽ ἀρήιοι υἷεc Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευcιc πολέμοιο.
ῥεῖα δέ κ᾽ ἀκμῆτεc κεκμηόταc ἄνδραc ἀυτῇ
ὤcαιμεν προτὶ ἄcτυ νεῶν ἄπο καὶ κλιcιάων.
ὣc φάτο λιccόμενοc μέγα νήπιοc· ἦ γὰρ ἔμελλεν

---

V. L. 30 ἐμέ γ᾽ AGH Vrat. b. d. Mosc. b. alii ἔμεγ᾽. ἐμὲ γοῦν CEL. λάβῃ Lips. φυλάccοιc C. — 31 αἰναρέτη A. αἰναρέτα Barocc. Mor. αἰν᾽ ἀρετῇ S. ἕτεροι γράφουcιν αἰν᾽ ἀρετῆc τίc cευ ἄλλοc ὀνήcεται. ἄλλοι δὲ αἰναρέτηc γράφουcιν κατ᾽ εὐθεῖαν πτῶcιν Eust. 1043, 52. τίc cευ E bis G 2. man. τίc c᾽ ὀνήcεται[β] ἄλλοc[α] L. τίc cευ . . . ὀνόccεται Apoll. Soph. 14, 15. τίc cε . . . . ὀψιγόνων Cram. An. Ox. III, 389, 21. τίc cε[η] . . . . ὀνόccεαι ὀψιγόνων Cram. An. Ox. III, 390, 14. — 32 ἀμύνοιc L. ἀμύνειc Barocc. — 33 ἄρα δή coι πατὴρ Cram. Epim. 296, 4. — 34 cε, τίκτε L. c᾽ ἔτικτε ACDE bis. Cant. Mor. Lips. Mosc. b. Vrat. b. Rom. Hypothes. Schol. Pind. Isthm. Plutarchus de Adul. et amico 26. — 35 πέτραι τ᾽ H bene. πέτρα δ᾽ ἠλίβατοc Lips. ἀποινήc L. — 36 ἀλεείνηc Eust. 1042, 16. L. ἀλεείνηc Harl. — 37 τινά coι Eust. 1042, 16. παρ AG. παρ᾽ D. ἐπίφραδε Vrat. A. — 39 που CL. — 40 δέ omitt. Eust. 205, 41. 977, 10. — 41 αἴ κέ με CE Mor. Lips. Mosc. b. Vrat. b. Rom αἴ κε με LS. vulgo αἴ κ᾽ ἐμὲ. ἀπόcχονται Barocc. πτολέμοιο Flor. Rom. — 42 τρῷεc L. ἀναπνεύcουcι LS. — 43 ἀνάπνευcιc Eust. 1044, 24: ἀνάπαυcιc Eust. 1044, 38. πτολέμοιο G. — 44 δὲ κακμῆτεc L. κεκμηκόταc E. — 45 ὤcομεν S. ὤcοιμεν Vrat. A. ποτὶ ES Flor. Rom. — 46 ὥc A. ἔφατο G.

---

A. c. 31 αἰναρέτη Aristarchus: alii αἴν᾽ ἀρετῆc Schol. A. conf. Cram. An. Par. III, 386, 1. Eust. 1043, 46. Et. Mg. 36, 9. Suidas I, 2, 38, 5. Zonar. Lex. 70. Cram. An. Ox. II, 6, 12. — 35 ὅτι: ὅτε Aristarchus teste Schol. V. — 41 εἴcκοντεc Aristarchus: ceteri ἴcκοντεc conf. Schol. Λ 799. — 44, 45 asterisci, οὐκ ὀρθῶc Λ 802, 803.

οἵ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέϲθαι.
τὸν δὲ μέγ᾽ ὀχθήϲαϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
ὤ μοι διογενὲϲ Πατρόκλειϲ, οἷον ἔειπεϲ·
οὔτε θεοπροπίηϲ ἐμπάζομαι, ἥν τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸϲ ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχοϲ κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέληϲιν ἀμέρϲαι,
καὶ γέραϲ ἂψ ἀφελέϲθαι, ὅ τε κράτεϊ προβεβήκῃ·
αἰνὸν ἄχοϲ τό μοί ἐϲτιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
κούρην, ἣν ἄρα μοι γέραϲ ἔξελον υἷεϲ Ἀχαιῶν,
δουρὶ δ᾽ ἐμῷ κτεάτιϲϲα πόλιν εὐτείχεα πέρϲαϲ,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδηϲ ὡϲ εἴ τιν᾽ ἀτίμητον μετανάϲτην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάϲομεν· οὐδ᾽ ἄρα πωϲ ἦν
ἀϲπερχὲϲ κεχολῶϲθαι ἐνὶ φρεϲίν· ἦ τοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυϲέμεν, ἀλλ᾽ ὁπότ᾽ ἂν δὴ
νῆαϲ ἐμὰϲ ἀφίκηται ἀυτή τε πτόλεμόϲ τε.
τύνη δ᾽ ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεϲϲι φιλοπτολέμοιϲι μάχεϲθαι,
εἰ δὴ κυάνεον Τρώων νέφοϲ ἀμφιβέβηκε
νηυϲὶν ἐπικρατέωϲ, οἳ δὲ ῥηγμῖνι θαλάϲϲηϲ
κεκλίαται χώρηϲ ὀλίγην ἔτι μοῖραν ἔχοντεϲ,

---

V. L. 47 οἵ τ᾽ αὐτῷ H Mor. Vrat. b. d. Rhet. Gr. III, 103, 16. Apollon. de Pron. 58 B. οἵ τ᾽ Vrat. A. οἱ G. λιτέϲθαι: λιπέϲθαι CL. λιτᾶϲθαι (ε supra) S. — 48 τόνδε L. — 49 ᾦμοι CH. ἔειπαϲ C Mor. Barocc. — 50 οὔτε: οὔτι Zonar. Lex. 708. ἥντινα D. — 51 οὔτέ ACDGHL. τι μοι ACHL. παρ᾽ D. ὑπέφραδε L. — 53 ὁππότε δὲ . . . . . ἐθέληϲεν Et. Mg. 82, 3. — 54 ὅ, τε H. προβεβήκῃ (η supra) AD Townl. Vrat. A: προβεβήκει C. προβεβήκει EGHL. — 55 αἰνὸϲ G. τό: τόδε H. μοι ἐϲτὶν CEGHL. μοι ἐϲτιν A. — 56 ἐξέλον G. — 57 κτεάτιϲϲα et κτεάτιϲα Eust. 1045, 33; 57. εὐτείχεον C Lips. Townl. — 58 omitt. Vrat. d. — 59 ὡϲ εἴ A: ceteri ὡϲεί. — 60 προτετῦχθαι H. ἄρα περ G Flor. — 61 ἐνι A. — 62 καταπαυϲέμεν᾽ Lips. ὁπόταν ACEGHL. — 63 πόλεμοϲ EGL Flor. — 64 ὤμοιϲι Eust. 1044, 41. ἐμὰ omitt. H. — 65 μηρμιδόνεϲϲι G. — 66 τρῴων L. ἀμφιβέβηκε ACDEGH. — 67 οἳ δὲ C.

---

A. c. 47 Herodianus λιτέϲθαι: λίτεϲθαι Ptolem. Ascalonita. — 50 ἀρίϲταρχοϲ εἴ τινα οἶδα διὰ τοῦ ει Didymus. — 53 δή: τιϲ Aristarchus teste Schol. V. — 58 μ᾽ ἕλετο Doederl. Emend. Homer. (1858) pg. 11. — 59 μετανάϲτην: μετανάϲτιν (ita Bekk. pro μεταναϲτεῖν) Rhianus cum Massiliensi.

Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε
θάρσυνος. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἳ δ' ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι μάχῃ νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὣς Πάτροκλε νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι,

---

V. l. 69 τρῴων L. ἐπι C. βέβηκε ACDEGL: βεβήκει H Harl. Vrat. d. A. — 70 ἐπϊλεύσουσϊ C. λεύσουσι Eust. 1046, 16. L Townl. μέτωπα Schol. Z 10. — 71 κε Lips. — 72 εἴ μη L. — 74 παλάμῃσι ACDEGH Schol. Ι 709. — 75 μαίνετ' D. ἄπο GS. ἀπο CHL. — 76 οὐδέπω libri. — 78 τρῳσὶ L. οἳ δ' D. οἵδ' CGHL. — 80 ὡς A: ceteri ὣς. ἄπο DGHLS. ἀπο C. — 82 ἀπο ACDHL. — 83 ἐνὶ φρεσὶ Lips. — 84 ἄρηαι libri mei cum Barocc. Mor. Harl. Lips. Vrat. b. A. Mosc. b. Flor.: ἄροιο E Rom. — 85 ἀτὰρ οἳ ACHL Et. Mg. 128, 18. περικαλλέα A. περικαλέα D. — 86 ἀπονάσωσι D. ἀπονάσωσιν Lips. ἀπονάσσωσι προτὶ L, conf. Μ 64. Φ 532. Χ 217. πρὸς δ' E. — 87 δ' ἐλάσας Vrat. d. A. αὖ τοι: αὖτε DH Barocc. Mor. Vrat. b. d. A. Mosc. 2. — 88 δῴη ADEG Cram. An. Ox. II, 353, 18. IV, 392, 30. δῴῃ H. δώη CL. κῦδος: κύδε' ἄρεσθαι Cram. An. Ox. II, 353, 18. — 89 ἐμοῖο G Schol. Pind. Ol. IX, 115. — 90 τρῳσὶ L. θείῃς Townl. — 91 μὴ δ' CDEGH.

---

A. c. 71 οὕτως ἐναύλους διὰ τοῦ ν̄ Didymus. — 76 ἔν τισι τῶν ὑπομνημάτων ἔπος ἔκλυον Didymus. — 86 ἀπονάσσωσιν: ἀποδάσσωσιν Bekk. 2. ex coni. — 87 αὖ τοι Herodianus. — 89, 90 Ζηνόδοτος ἦρκεν Aristonicus. — 90 δέ με Ptolem. Ascalonita: alii δ' ἐμέ. — 91 μηδ' ἐπαγαλλόμενος: μὴ σύγ' ἀγαλλόμενος Zenodotus.

Τρῶαϲ ἐναιρόμενοϲ, προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τιϲ ἀπ᾽ Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τούϲ γε φιλεῖ ἑκάεργοϲ Ἀπόλλων·
ἀλλὰ πάλιν τρωπᾶϲθαι, ἐπὴν φάοϲ ἐν νήεϲϲι
θήῃϲ, τοὺϲ δέ τ᾽ ἐᾶν πεδίον κάτα δηριάαϲθαι.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
μήτέ τιϲ οὖν Τρώων θάνατον φύγοι, ὅϲϲοι ἔαϲι,
μήτέ τιϲ Ἀργείων, νῶιν δ᾽ ἐκδῦμεν ὄλεθρον,
ὄφρ᾽ οἶοι Τροίηϲ ἱερὰ κρήδεμνα λύωμεν.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον.
Αἴαϲ δ᾽ οὐκέτ᾽ ἔμιμνε· βιάζετο γὰρ βελέεϲϲι·
δάμνα μιν Ζηνόϲ τε νόοϲ καὶ Τρῶεϲ ἀγαυοὶ
βάλλοντεϲ· δεινὴν δὲ περὶ κροτάφοιϲι φαεινὴ
πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ᾽ αἰεὶ
κὰπ φάλαρ᾽ εὐποίηθ᾽· ὃ δ᾽ ἀριϲτερὸν ὦμον ἔκαμνεν

---

V. L. 92 τρῷαϲ L. προτὶ ADHL. πρὸ τὶ C. ποτὶ EG Flor. Rom. ποτ᾽ S. — 93 αἰεὶ γενετάων A. — 94 ἐμβήῃ AGHL Cram. Ep. 430, 23. ἐμβήῃ C Eust. 1047, 28. 1127, 58. ἐμβήῃ D Apoll. Soph. 67, 11. Eust. 1046, 43. τοῦϲγε A. — 95 πάλιν, τρωπάαϲθαι A. πάλιν τροπάαϲθαι CLS Lips. Mor. Harl. Vrat. b. A. πάλιν τρωπᾶϲθαι ἢ παλιντροπάαϲθαι E. πάλιν τρωπᾶϲθαι GH Zonar. Lex. 1753. τρωπάϲθαι D. νήεϲϲι ACDG. — 96 θήῃϲ ACDH. θήῃϲ seu θήῃϲ Cant. Lips. Townl. Vrat. d. Mosc. 2. θείηϲ GL Eust. 1044, 36. 1046, 64. 1047, 37. θήῃϲ antigrapha vetera teste Eust. 1047, 31. τοὺϲ δέ τ᾽ AD. τουϲ δέ τ᾽ C. τούϲδε τ᾽ L Barocc. Mor. Harl. τοὺϲ δὲ δ᾽ E. τοὺϲ δε δ᾽ H. τούϲδε δ᾽ ἔα G Flor. κάτα AH Mosc. 2. καταδηριάαϲθαι CDEGL. — 98 μήτέ τιϲ ACEGH. μήτε τίϲ D. τρώων L. φύγῃ Lips. ἔαϲι ACDEG. ἔαϲϲι Vrat. A. — 99 μήτέ τιϲ ACD EGL. μήτε τῖϲ H. νῶϊν: νῶϊ EL, conf. N 326. ἐκδῦμεν E bis H: ἐκδύμεν ACDG. ἐκδύμεν᾽ Lips. ἐκδίμεν L. — 100 λύωμεν ACEGHL Mor. Barocc. Vrat. b. d. Apoll. Soph. 104, 5. Plutarchus de Aud. poët. 8. οι λύωμεν D. λύημεν S. ἕλωμεν Lips. — 101 ὥϲ A. — 102 οὐκ ἔτ᾽ Eust. 1048, 41. Rhet. Gr. III, 117, 11. βελέεϲϲι ACDGH Rhet. Gr. III, 117, 11. — 103 δάμνα δέ μιν L. τρῷεϲ L. — 104 δεινὴν CEG Lips. Ven. B: δεινὴ ADHS Townl. Mosc. 2. δεινὸν L. περι A. — 106 καπφάλαρ᾽ AC (et supra man. rec. γρ. καὶ) DGHL Cram. Epim. 428, 10. καμφάλαρ᾽ S. κὰπ φάλαρ᾽ E. δ δ᾽ D. ὅδ᾽ CGHL. ἔκαμνε A Lips. ἔκαμψεν Barocc. Mor.

---

· A. c. 92 ὅτι Ζηνόδοτοϲ προτὶ ἴλιον αἰπὺ δίεϲθαι Aristonicus. — 93—96 Ζηνόδοτοϲ ἦρκε. γράφει δὲ „μή ϲ᾽ ἀπογυμνωθέντα λάβῃ κορυθαίολοϲ Ἕκτωρ“ Aristonicus. — 94 ἐμβήῃ et 96 θήῃϲ Aristarchus, conf. H. T. 405 sqq. — 95 πάλιν τρωπᾶϲθαι Apollodorus: παλιντροπάαϲθαι Nicias. — 97—100 ἀθετοῦνται Aristonicus. Ζηνόδοτοϲ ὑπώπτευκεν Schol. V. — 104 δεινὴν Herodianus ϲὺν τῷ ν̄. — 105 βάλλετο: γράφεϲθαί φηϲιν ὁ Ἀρίϲταρχοϲ καὶ τύπτετο δ᾽ αἰεὶ καπφάλαρ᾽ εὐποίητα διὰ τοῦ π̄ Aristonicus. — 106 ἀρίϲταρχοϲ διὰ τοῦ καί ϲυνδέϲμου καὶ φάλαρα γράφων πάντωϲ βραχὺ διέϲτελλεν ἐπὶ τὸ αἰεί Nicanor.

ἔμπεδον αἰὲν ἔχων cάκος αἰόλον· οὐδὲ δύναντο
ἀμφ' αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεccιν.
αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄcθματι, κὰδ δέ οἱ ἱδρὼc
πάντοθεν ἐκ μελέων πολὺc ἔῤῥεεν, οὐδέ πῃ εἶχεν
ἀμπνεῦcαι· πάντῃ δὲ κακὸν κακῷ ἐcτήρικτο.
ἔcπετε νῦν μοι μοῦcαι Ὀλύμπια δώματ' ἔχουcαι,
ὅππωc δὴ πρῶτον πῦρ ἔμπεcε νηυcὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντοc δόρυ μείλινον ἄγχι παραcτὰc
πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆc παρὰ καυλὸν ὄπιcθεν,
ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιοc Αἴαc
πῆλ' αὔτωc ἐν χειρὶ κόλον δόρυ· τῆλε δ' ἀπ' αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδιc βόμβηcε πεcοῦcα.
γνῶ δ' Αἴαc κατὰ θυμὸν ἀμύμονα, ῥίγηcέν τε,
ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχηc ἐπὶ μήδεα κεῖρε
Ζεὺc ὑψιβρεμέτηc, Τρώεccι δὲ βούλετο νίκην·
χάζετο δ' ἐκ βελέων. τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
νηὶ θοῇ· τῆc δ' αἶψα κατ' ἀcβέcτη κέχυτο φλόξ.
ὣc τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺc
μηρὼ πληξάμενοc Πατροκλῆα προcέειπεν·
ὄρcεο διογενὲc Πατρόκλειc, ἱπποκέλευθε·
λεύccω δὴ παρὰ νηυcὶ πυρὸc δηίοιο ἰωήν.
μὴ δὴ νῆαc ἕλωcι καὶ οὐκέτι φυκτὰ πέλωνται·

V. l. 107 ἔχον Apoll. Soph. 67, 21. οὐδὲ δύναντο AE 1048, 21; 36. GL: οὐδ' ἐδύναντο CDH Cant. Mor. Vrat. b. d. A. — 108 τελέεccιν Barocc. Mor. — 109 καδδέ ACDGHL. — 110 ἔῤῥεεν: ῥέεν H. οὐδέ πῃ A Eust. 1048, 25; 47: ceteri πη. οὐδέ πω Barocc. οὐδέ τι D. — 111 ἐμπνεῦcαι S. πάντῃ ADE 1048, 19; 48. G Schol. Soph. Ai. 866. πάντη CHL Rhet. Gr. II, 254. 4. III, 117, 15. ἐcτήρικται Schol. Soph. Ai. 866. — 112 ἕcπετε H. — 113 ὅπωc Lips. — 115 αἰχμὴν Schol. Plat. Charmid. 153 A. παρα H. — 116 ἀπάρραξε C. — 117 αὕτωc EGH Apoll. Soph. 60, 7. Cram. An. Ox. III, 112, 3. αύτωc A. αὐτὸc Schol. Υ 370. ἐν χερcὶ Barocc. — 118 χαμάδηc D. — 120 θεῶν: θεοῦ H (Vrat. d. Mosc. 2.). ἐπι ACDH. κεῖρε AC Lips. Mosc. 2. Ven. B.: κείρει A in marg. DE bis GHL Eust. 1085, 4. κήρει S. — 121 τρῳεccι L. βούλετ' ἀρήγειν D Vrat. b. A. — 122 τοὶ δ': οἵδ' H. οἱ δ' Vrat. b. ἔβαλον Lips. — 123 ἄcβεcτοc S. — 124 τῆc μὲν πρύμνηc D. 1. man. Vrat. A. — 127 λεύcω C Ven. B. Lips. Townl. Schol. Ι 186. δηΐοιο πυρὸc C. ἰωὴν ACD Harl. Schol. ε 404: ἐρωήν EGHLS Ven. B. Lips. Townl. Schol. Ι 186. — 128 οὐκ ἔτι G. πέλονται DH Vrat. b. d.

A. c. 117 κόλον Ptolem. Ascalonita et Herodianus, παροξυτόνωc. — 120 ἀρίcταρχοc κεῖρε χωρὶc τοῦ ῑ, ἄλλοι δὲ κείρει Didymus. — 123 κατ' ἀcβέcτη Aristarchus. videntur fuisse qui legerent καταcβεcτὴ vel αἶψ' ἀκαταcβέcτη. — 127 ἰωήν: ἐν τῇ μαccαλιωτικῇ ἐρωήν Didymus.

δύϲεο τεύχεα θᾶϲϲον, ἐγὼ δέ κε λαὸν ἀγείρω.
ὣϲ φάτο, Πάτροκλοϲ δὲ κορύϲϲετο νώροπι χαλκῷ.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμῃϲιν ἔθηκε
καλὰϲ ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνε
ποικίλον, ἀϲτερόεντα, ποδώκεοϲ Αἰακίδαο.
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα ϲάκοϲ μέγα τε ϲτιβαρόν τε·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐΰτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.
ἔγχοϲ δ' οὐχ ἕλετ' οἶον ἀμύμονοϲ Αἰακίδαο,
βριθὺ μέγα ϲτιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλοϲ Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶοϲ ἐπίϲτατο πῆλαι Ἀχιλλεύϲ,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆϲ, φόνον ἔμμεναι ἡρώεϲϲιν.
ἵππουϲ δ' Αὐτομέδοντα θοῶϲ ζευγνῦμεν ἄνωγε,
τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιϲτα,
πιϲτότατοϲ δέ οἱ ἔϲκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέαϲ ἵππουϲ,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇϲι πετέϲθην,

V. L. 129 δύϲϲεο DG edd. vett. ἀγείρω: ἐγείρω L. huic adscriptus est in margine cod. D man. rec. μυρμιδόνων ἤν που τι φ[όωϲ] δαναοῖϲι γενηα[ι], qui versus etiam in Vrat. A est additus. — 130 ὡϲ A. — 131 κνημῖδαϲ CH Lips. Vrat A. πρῶτον G Flor. Rom. ἔθηκε ACD. — 133 περι A. ἔδυνε ACDGHL. — 135 ἂρ ADGHL. ὤμοιϲι Lips. — 136 μέγά τε C. τε omitt. L. — 137 ἐΰτυκτον C: ceteri εὔτυκτον, L εὔθηκτον. ἔθηκε G. — 138 καθ' ὕπερθεν Vrat. b. A. male, nam καταvεύω ubique notionem habet adnuendi, nutu affirmandi. ἔνευε D. — 139 δοῦρε, non δοῦρα, libri mei cum Lips. Harl. Cant. Mor. Vrat. b. d. Mosc. 2. πυλάμηφιν CEG. — 140 αἰακίδαω G. πηλείδαο L. — 141 ϲτιβαρόν τε τὸ L. — 142 πᾶλαι Lips. ἀχῖλεὺϲ C. — 143 omitt. H in textu, habet in marg. man. rec. πόρε ACDEGL: τάμε H Cant. Vrat. b. d. Porphyrius ad Z 201. Schol. Pind. Nem. III, 55. — 145 ζευγνῦμεν; libri ζευγνύμεν cum Schol. Π 99. scriptura ζευγνῦμεν confirmatur analogia formarum τιθήμεναι Ψ 83, 247 (τιθήμενον K 34) et ῑ̆μεναι Υ 365, conf. Buttm. Ampl. Gram. I, pg. 515. ἄνωγε ADGH. — 146 ἀχῖλῆα C. — 147 ἔνι ADHL: ἐνὶ EG. ἐνῒ C. — 148 τῷ δέ κεν Vrat. A. ὠκέαϲ omitt. D. — 149 βάλιον L: ceteri βαλίον. τὼ: τὼ δ' D.

A. c. 140 Ζηνόδοτοϲ τοῦτον ἀθετήϲαϲ τοὺϲ ἑξῆϲ τέϲϲαραϲ οὐκ ἔγραφεν Aristonicus. — 141—144 Ζηνόδοτοϲ ἠθέτηκεν Schol. T 387. asterisci, κακῶϲ T 388—391, ubi vide Aristonicum. — 143 διχῶϲ καὶ τάμε καὶ πόρε Didymus (?), conf. Porphyrium ad Z 201. — 144 ἀρίϲταρχοϲ ἐν κορυφῆιϲ διὰ τοῦ ν̄ Didymus, conf. Schol. T 391.

τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη,
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς,
ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισι.
Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς
πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ λύκοι ὣς
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή,
οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες
δάπτουσιν· πᾶσιν δὲ παρήιον αἵματι φοινόν·
καί τ' ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου
λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ.
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
ῥώοντ'. ἐν δ' ἄρα τοῖσιν ἀρήιος ἵστατ' Ἀχιλλεὺς
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
πεντήκοντ' ἦσαν νῆες θοαί, ᾗσιν Ἀχιλλεὺς
ἐς Τροίην ἡγεῖτο διίφιλος· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·

---

V. l.. 150 ἔτεκεν L Apoll. Soph. 43, 31. τέκετο E. ποδάρ$^{\kappa}$γη C. ποδάρκη S. — 151 παραὶ G Rom. παρὰρρόον C. παρὰῤῥόον S. παράῤῥοον Townl. Ὠκεανοῖο: Ἠριδανοῖο multa antigrapha teste Eust. 1050, 63. — 152 ἵη Barocc. — 153 ἀχϊλεύς C. — 154 ἀθανάτοισι ACDGH. — 155 ἂρ ADGHL. ἀχϊλεύς C. — 156 οἱ δὲ C. ὡς AD. — 157 τοῖσι L Lips. περϊ H. παρὰ S. φρένας Flor. — 158 δηϊώσαντες DL Vrat. A. — 159 δάπτουσι E. πᾶσιν omitt. H. παρῄιον L. — 160 ἰᾶσιν G. ἰᾶσι Vrat. b. Flor. ϊάσι A et in marg. ἵασιν. ἰάσσι Et. Mg. 301, 25. ἐπὶ Vrat. A. μελανύδρου A. — 161 λάπτοντες Et. Mg. 556, 51. λάμποντες Et. Gud. 362, 52. γλώσσαισιν Et. Gud. 127, 37. ἀραιῇσι EG Lips. Flor. Rom. ἅραιῇσι Townl. duplici spiritu. — 162 ἐν δέ γε E. — 163 ἄτρομος ἐστὶ HL. περὶ στένεται A. τε omitt. G. — 165 ἀμφ': ἀφ' L. — 166 ῥώοντο D. ἀχϊλεύς C. — 168 πεντήκοντά τ' G. ἀχϊλεὺς C. — 169 διϊ φίλος ACDEGHL. ἐν δὲ: ἐν δ' ἄρ' C Barocc. Vrat. b. d. A. ἐν δ' ἂρ H. ἐν δ' ἂρ ἢ ἐν δὲ Eust. — 170 ἐπι A. κληῖσιν: κλισίῃσιν S.

---

A. c. 150 Ποδάργη: πόδαργος Zenodotus. — 156 πάντας: πάντῃ Zenodotus, conf. πάντῃ ἀνὰ στρατόν Α 384. κατὰ στρατὸν ᾤχετο πάντῃ Ε 495. Ζ 104. Λ 212. πάντῃ ἐποιχόμενοι Ζ 81. Κ 167. — 159 παρήια αἵματι φοινά? — 160 ἴασιν Zenodotus (?), Apollonius, Herodianus, conf. Et. Mg. 467, 15. Cram. An. Ox. IV, 346, 18; 347, 5. — 161 λάψοντες: λάψαντες Zenodotus. ἀραιῇσιν Aristarchus, vide H. T. 201.

πέντε δ' ἄρ' ἡγεμόνας ποιήϲατο, τοῖϲ ἐπεποίθει
ϲημαίνειν· αὐτὸϲ δὲ μέγα κρατέων ἤναϲϲε.
τῆϲ μὲν ἰῆϲ ϲτιχὸϲ ἦρχε Μενέϲθιοϲ αἰολοθώρηξ,
υἱὸϲ Ϲπερχειοῖο, διιπετέοϲ ποταμοῖο·
ὃν τέκε Πηλῆοϲ θυγάτηρ, καλὴ Πολυδώρη,
Ϲπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖϲα,
αὐτὰρ ἐπίκληϲιν Βώρῳ, Περιήρεοϲ υἷι,
ὅϲ ῥ' ἀναφανδὸν ὄπυιε πορὼν ἀπερείϲια ἕδνα.
τῆϲ δ' ἑτέρηϲ Ἐύδωροϲ ἀρήιοϲ ἡγεμόνευε,
παρθένιοϲ, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντοϲ θυγάτηρ· τῆϲ δὲ κρατὺϲ ἀργεϊφόντηϲ
ἠράϲατ' ὀφθαλμοῖϲιν ἰδὼν μετὰ μελπομένῃϲιν
ἐν χορῷ Ἀρτέμιδοϲ χρυϲηλακάτου κελαδεινῆϲ.
αὐτίκα δ' εἰϲ ὑπερῷ' ἀναβὰϲ παρελέξατο λάθρῃ
Ἑρμείαϲ ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοϲτόκοϲ Εἰλείθυια
ἐξάγαγε πρὸ φόωϲ δὲ καὶ ἠελίου ἴδεν αὐγάϲ,
τὴν μὲν Ἐχεκλῆοϲ κρατερὸν μένοϲ Ἀκτορίδαο
ἠγάγετο πρὸϲ δώματ', ἐπεὶ πόρε μυρία ἕδνα·
τὸν δ' ὁ γέρων Φύλαϲ εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν,

---

V. l. 171 ἂρ ADGHL. — 172 ἤναϲϲε ACDGHL. — 173 μὲν: δὲ Et. Gud. 512, 24. αἰολοθώρηξ A. — 174 διῒ πετέοϲ G. διϊοπετέοϲ H. υἱὸϲ Ϲπερχειοῖο, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ Aristonicus ad Φ 2. — 175 ὃν: τὸν DGHS. — 177 βόρρῳ Vrat. A. περιήρεοϲ A. υἷι ACDEGHLS et Heynii libri: υἱῷ primus Bekk. intulit. — 178 πορὼν omitt. L. πορῶν Lips. Mosc. 2. ἀπερείϲια ἄποινα Vrat. b. ἔδνα DH. — 179 ἡγεμόνευε ACDEGH. — 180 τόν ρ D. καλὴ omitt. L. — 181 φύλλαντοϲ D. κρατὺϲ: θραϲὺϲ L. κράτοϲ Vrat. A. — 182 μετα CDHL. μελπομένηϲι E. — 183 χρυϲηλακάτου A. — 186 περὶ ACDEGHL. θέειν D. ταχὺν omitt. D 1. man. — 187 ἐπειδὴ libri. μογοϲτόκοϲ A. Εἰλήθυια Euseb. Praep. Ev. III, 1, 5. — 188 ἐξάγαγεν AC. προφόωϲ δὲ DH. πρὸ φόωϲ δὲ G. πρὸ φάοϲδε C. προφόωϲδε E. πρὸ φόωϲδε Euseb. Praep. Ev. III, 1, 5. Suidas II, 2, 1521, 15. φώωϲ δὲ A, conf. T 118. εἶδεν D. — 190 ἔδνα DGH. — 191 ἐὺ: libri εὖ.

---

A. c. 175 χωρὶϲ τοῦ τ̄ ὃν τέκε ἀρίϲταρχοϲ. οὕτωϲ καὶ ἀριϲτοφάνηϲ Didymus. — 177 υἷι Herodianus: alii υἱεῖ. — 183 ἀθετεῖται Schol. V. — 185 ἀκάκητα Aristarchus: ceteri ἀκακῆτα. — 188 οὕτωϲ καὶ ἀριϲτοφάνηϲ φώωϲ δέ, Ζηνόδοτοϲ προφόωϲ δέ Didymus, conf. Schol. T 118.

ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήιος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν
ἔγχεϊ μάρνασθαι μετὰ Πηλείωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
στῆσεν ἐὺ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ᾐτιάασθε ἕκαστος·
σχέτλιε Πηλέος υἱέ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων,
ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·

---

V. L. 192 ἀμφὰγαπαζόμενος D. ὡς εἴ AD: ceteri ὡσεί. υἱὸν omitt. G. — 193 ἡγεμόνευε ACDGH. — 194 μετέπρεπεν ἡγεμόνεσσιν L. — 196 φοίνιξ D. — 197 πέμπτος L. — 198 ἀχϊλεὺς C. — 199 ἔϋ κρίνας A. εὖ κρίνας DGHL Flor. ἐϋκρίνας CE 961, 6. 1054, 27. Rom. ЄΥ Syr. ἐπι CDHL. ἔτελλε ACDH Syr. — 200 μήτις GL. — 201 ἐπι A. θοῇσϊ H. τρώεσσι ACDEG. τρώεσσιν H Syr. τρῴεσσιν L. — 202 ὑπο D. — 204 παρα H. — 205 ποντοπόροισι D. — 206 αὖθϊς C. — 207 ταῦθ' ἅμ' H. ΤΑΫΘ' ΑΜ Syr. θάμ' ἐβάζετε libri cum Et. Gud. 577, 27. Cram. Epim. 448, 12. πέφαντε H. — 208 ἑῆς S. τοπρίν CL. γεράασθε H. — 209 ἔνθά τις ACDGHL. ЄΝΘΆΤΙϹ Syr. τρῴεσσι L. — 211 ἄρθεν Cram. An. Ox. II, 338, 7: libri ἄρθεν. — 212 λίθοισι A Ambr. CDEGH Rhet. Gr. II, 249, 17. Cram. An. Ox. IV, 117, 12. — 213 βίας: βίαν Cram. An. Ox. IV, 117, 13. — 214 ὣς γὰρ ἄρον E. — 215 ἄρ AEH.

---

A. c. 202 μ' ᾐτιάασθε: μητιάασθε Zenodotus. — 207 ταῦτά μ' Aristarchus: ταῦθ' ἅμ' Hermias Crateteus. ἀρίσταρχος ἰακῶς θαμὰ βάζετε Didymus. — 211 ἄρθεν Aristarchus.

ψαῦον δ' ἱππόκομοι κόρυθεϲ λαμπροῖϲι φάλοιϲι
νευόντων· ὣϲ πυκνοὶ ἐφέϲταϲαν ἀλλήλοιϲι.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήϲϲοντο,
Πάτροκλόϲ τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντεϲ,
πρόϲθεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεὺϲ
βῆ ῥ' ἴμεν ἐϲ κλιϲίην, χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγε
καλῆϲ δαιδαλέηϲ, τήν οἱ Θέτιϲ ἀργυρόπεζα
θῆκ' ἐπὶ νηὸϲ ἄγεϲθαι, ἐῢ πλήϲαϲα χιτώνων
χλαινάων τ' ἀνεμοϲκεπέων οὔλων τε ταπήτων.
ἔνθα δέ οἱ δέπαϲ ἔϲκε τετυγμένον, οὐδέ τιϲ ἄλλοϲ
οὔτ' ἀνδρῶν πίνεϲκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον,
οὔτέ τεῳ ϲπένδεϲκε θεῶν, ὅτι μὴ Διὶ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατοϲ καλῇϲι ῥοῇϲι,
νίψατο δ' αὐτὸϲ χεῖραϲ, ἀφύϲϲατο δ' αἴθοπα οἶνον.
εὔχετ' ἔπειτα ϲτὰϲ μέϲῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰϲανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα Δωδωναῖε, Πελαϲγικέ, τηλόθι ναίων,

---

V. L. 216 φάλοιϲι A Ambr. CDGH Syr. Cram. An. Ox. IV, 117, 16. — 217 ὥϲ A. πυκινοὶ CL Lips. Vrat. A. Rom. ἀλλήλοιϲι A Ambr. CGH. — 218 θωρήϲϲεϲθον A Rom. γρ. θωρήϲϲοντο A, ita CDEGHLS Ambr. Cant. Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. d. A. Mosc. 2. Flor. — 219 τε omitt. L. — 220 πολεμίζειν Ambr. S Vrat. A. ἀχϊλεὺϲ C. — 221 ἄπο ACD: ceteri ἀπὸ cum Schol. Δ 3. Ι 219. Et. Mg. 351, 51. Zonar. Lex. 946. ἀνέῳγε ACDG Et. Mg. 351, 51. Zonar. Lex. 946. ΑΝΕΩΓΕ Ambr. Syr. ἀνέῳγεν HL Lips. Schol. Δ 3. Ι 219. — 223 ἔϋ, πλήϲαϲα C. ἔϋ πλήϲαϲα A. ἐϋπλήϲαϲα DE 1054, 13. 1056, 19 et 54. Rom. εὐπλήϲαϲα HL. ἐμπλήϲαϲα (omisso ἐῢ) G Flor. — 224 ΧΛΑΙΝΩΝ Ambr. ἀνεμοϲκεπέων A. τὲ C. — 225 οὐδέ: ΟΥΤΕ Ambr. οὔτέ C. — 227 οὔτέ τεῳ ACEGH. οὔτε τεωι D. οὔτε τέω L. ΟΥΤΈΤΕΩΙ Syr. οὔτε τέωϲ S. θεῶν: θεῶι D. ὅτι: ὅτε CEGS Athenaeus XI, 781. — 228 τόῤῥα H Lips. Rom. τόν ῥα CS Syr. ἐκάθηιρε AC. — 229 δ' ἔνιψ' ACDE Mosc. 2 ΔΕΝΊΖ' Syr.: vulgo δὲ νίψ'. ῥοῇϲι ACDEG Syr. — 230 ἀφύϲϲετο Vrat. A. — 231 omitt. Mosc. 2 ΕΠΕΊΤ' ΑΝϹΤΑϹ Syr. ϲτὰϲ ἐν μέϲωι D. — 232 εἰϲ ἀνιδὼν A. — 233 πελαϲγικὲ: γράφεται καὶ πελαργικὲ Eust. 1057, 54.

---

A. c. 223 ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ θῆκ' ἐπὶ νηὸϲ ἰόντι Didymus. — 227 οὕτωϲ ἀρίϲταρχοϲ ὅτι μὴ διί, ἄλλοι δὲ διὰ τοῦ ε̄ ὅτε Didymus. — 228 οὕτωϲ ἀρίϲταρχοϲ τόρα διὰ τοῦ ἑνὸϲ ρ̄ Didymus. conf. Schol. Apoll. Rhod. 1, 769 οἱ δὲ Ἀριϲτάρχειοι δι' ἑτέρου ρ̄ ἔχουϲι τὰϲ τοιαύταϲ γραφάϲ, ὡϲ Ἡρακλέων φηϲὶ ἐν τῇ π' τῆϲ Ἰλιάδοϲ τό ῥα τότ' ἐκ χηλοῖο λαβών. III, 37 οἱ δὲ Ἀριϲτάρχειοι [δι' ἑτέρου ρ̄] γράφουϲιν ὡϲ καὶ παρὰ τῷ ποιητῇ (laud. Π 228) φηϲὶν Ἡρακλέων. — 233 Δωδωναῖε: Φηγωναῖε Zenodotus apud Steph. Byz. 247, 4 sub Δωδώνη. alii Βωδωναῖε teste eodem pg. 247, 7.

Δωδώνης μεδέων δυςχειμέρου· ἀμφὶ δὲ Cελλοὶ
coὶ ναίουc᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.
ἠμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
τίμηcας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν ᾿Αχαιῶν,
ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ·
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ᾽ ἕταρον πέμπω πολέςιν μετὰ Μυρμιδόνεςςι
μάρναςθαι· τῷ κῦδος ἅμα πρόες εὐρύοπα Ζεῦ,
θάρςυνον δέ οἱ ἦτορ ἐνὶ φρεςίν, ὄφρα καὶ Ἕκτωρ
εἴςεται, ἤ ῥα καὶ οἶος ἐπίςτηται πολεμίζειν
ἡμέτερος θεράπων, ἤ οἱ τότε χεῖρες ἄαπτοι
μαίνονθ᾽, ὁππότ᾽ ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεί κ᾽ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀςκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο
τεύχεςί τε ξὺν πᾶςι καὶ ἀγχεμάχοις ἑτάροιςιν.
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.
τῷ δ᾽ ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ᾽ ἀνένευςε·
νηῶν μέν οἱ ἀπώςαςθαι πόλεμόν τε μάχην τε

---

V. L. 234 δὲ. ςελλοὶ A: δέ c᾽ Ἑλλοί Hesych. IV, 20. γράφουςιν ἀμφὶ δέ c᾽ Ἑλλοί Eust. 1057, 59. καὶ γὰρ οὕτω τινὲς λέγουςι τὸ παρὰ τῷ ποιητῇ „ἀμφὶ δὲ ᾿Ελλοὶ coὶ ναίουςιν“ Et. Mg. 709, 31. — 235 ἀνιπτόποδες. χαμαιεῦναι A. — 236 ἢ μὲν CHLS. εἰ μὲν ἢ μᾶλλον ἢ μὲν Eust. ἐμοὶ Flor. εὐχομένοιο S. — 238 ἦδ᾽ AD 2. man. ἤδ᾽ H. ἠδέ τι L. τόδε κρήηνον L. ἐπικρῄηνον C. ἐπικρήηνον G. — 239 ἐν ἀγῶνι νηῶν D. — 240 ἕτερον πέμψω E. πολέςι G. μετα A. μυρμιδόνεςςι ACG. — 241 πρόὲς A. — 242 ἐνι A. ЄΚΤΩΡ᾽ Syr. — 243 ἤ ῥα A Townl. ἦρα D. ἤ ῥὰ C 1. man. HL. ἤ ῥὰ C ex corr. ΉΡΑ Syr. ἐπίςτηται ACDGH Syr. Schol. Π 83: ἐπίςταται ELS Lips. Vrat. A. Rom. — 244 ἠ οἶ D. ἢ οἶ H. — 245 μετα D. — 246 ἀπο A. ναῦφϊ μαχοίμην L. — 247 ἵκοιτο: ΙΚЄЄΘΩ Syr. — 248 ξὺν, πᾶςι A: ξυμπᾶςι D. ςυμπᾶςϊ C. ΞΎΜΠΑCΙ Syr., idem Schol. Ω 22. conf. adn. ad Ζ 371. Κ 19. Λ 87. C 213. Τ 251. Φ 145. δ 671. ι 199. 332. κ 42. λ 257. ξ 296. ἐγχεμάχοις S. ἀγχιμάχοις Barocc. Mor. ἑτάροιςι D. — 248, 249 omitt. Vrat. A. — 249 ὡς A. μητιέτα L. — 250 ἔδωκεν D. δῶκε Eust. 1586, 5. δῶκε θεὸς Eust. 644, 9. ἕτερόνδ᾽ G. ἀνένευςε ACDEH Syr. Athen. VIII, 350. Rhet. Gr. III, 31, 6. ἀνένευε Mor. — 251 μέντοι C Rhet. Gr. III, 31, 7. μὲν οἱ A.

---

A. c. 234 δυςχειμέρου: πολυπίδακος Zenodotus. Cελλοί: ἡ διπλῆ πρὸς τὸ τῆς γραφῆς ἀμφίβολον· οἱ μὲν γὰρ Cελλούς, οἱ δὲ Ἑλλοὺς ἐξεδέξαντο Aristonicus. conf. Strab. VII, pg. 328. — 237 obelus cum asterisco, ὀρθῶς A 454. Ζηνόδοτος οὐδὲ γράφει· ᾿Αριςτοφάνης ἀθετεῖ Schol. V. — 243 ἐπίςτηται: ἐπιςτέαται Zenodotus.

δῶκε, ϲόον δ᾽ ἀνένευϲε μάχηϲ ἐξ ἀπονέεϲθαι.
ἤ τοι ὃ μὲν ϲπείϲαϲ τε καὶ εὐξάμενοϲ Διὶ πατρὶ
ἂψ κλιϲίην εἰϲῆλθε, δέπαϲ δ᾽ ἀπέθηκ᾽ ἐνὶ χηλῷ,
ϲτῆ δὲ πάροιθ᾽ ἐλθὼν κλιϲίηϲ, ἔτι δ᾽ ἤθελε θυμῷ
εἰϲιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
οἳ δ᾽ ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντεϲ
ἔϲτιχον, ὄφρ᾽ ἐν Τρωϲὶ μέγα φρονέοντεϲ ὄρουϲαν.
αὐτίκα δὲ ϲφήκεϲϲιν ἐοικότεϲ ἐξεχέοντο
εἰνοδίοιϲ, οὓϲ παῖδεϲ ἐριδμαίνωϲιν ἔθοντεϲ,
αἰεὶ κερτομέοντεϲ, ὁδῷ ἔπι οἰκί᾽ ἔχονταϲ,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεϲϲι τιθεῖϲι.
τοὺϲ δ᾽ εἴ περ παρά τίϲ τε κιὼν ἄνθρωποϲ ὁδίτηϲ
κινήϲῃ ἀέκων, οἳ δ᾽ ἄλκιμον ἦτορ ἔχοντεϲ
πρόϲϲω πᾶϲ πέτεται καὶ ἀμύνει οἷϲι τέκεϲϲι.
τῶν τότε Μυρμιδόνεϲ κραδίην καὶ θυμὸν ἔχοντεϲ
ἐκ νηῶν ἐχέοντο· βοὴ δ᾽ ἄϲβεϲτοϲ ὀρώρει.
Πάτροκλοϲ δ᾽ ἑτάροιϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
Μυρμιδόνεϲ, ἕταροι Πηληιάδεω Ἀχιλῆοϲ,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ,
ὡϲ ἂν Πηλείδην τιμήϲομεν, ὃϲ μέγ᾽ ἄριϲτοϲ
Ἀργείων παρὰ νηυϲὶ καὶ ἀγχέμαχοι θεράποντεϲ,
γνῷ δὲ καὶ Ἀτρείδηϲ εὐρὺ κρείων Ἀγαμέμνων

V. ι. 252 ϲῶον D. ἐξαπονέεϲθαι ACDEGHL Syr. Rhet. Gr. III, 31, 8. ἐξ ἀπονέεϲθαι Schol. Π 13. — 253 libri ἤτοι. ,τὲ H. — 254 κλιϲίηνδ᾽ H Lips. ἐνι AD. — 255 ϲτῆ δε D. — 256 εἰϲϊδέειν A. τρώων L. — 257 οἳ δ᾽ D. οἵδ᾽ CGHL. — 258 τρωϲὶ L. φρονέοντεϲ ἔβηϲαν Vrat. b. A. — 259 ἐοικότεϲ εἰνοδίοιϲι Pseudoplut. 122, 40. — 260 παῖδαϲ D 1. man. ἐριδμαίνωϲιν libri fere omnes cum Schol. Ι 540. Apoll. Soph. 63, 17. Et. Mg. 319, 9: ἐριδμαίνουϲιν E Harl. ἐριδμαίρωϲιν S. ἐριδαίνουϲιν Pseudoplut. 122, 42. — 261 ἔπι ACDEGHL. οἰκοί᾽ G. ἔχονταϲ AEHL: ἔχοντεϲ CD 1. man. S Syr. Barocc. Lips. 1. man. Mosc. 2. a pr. man. — 262 τιθεῖϲι ACDEGH Syr. — 263 δ᾽ omitt. Syr. 1. man. παρὰ AH. πάρα D 2. man. παρα CD 1. man. L. ὁδοίτηϲ L. — 264 κινήϲῃ ADHL Syr. Cant. Mosc. 2. Vrat. b. d. A. κινήϲει CEG. κινήϲει᾽ Harl. ἀἔκων A. οἳ δ᾽ D. οἵδ᾽ CGHL. — 265 τέκεϲϲι ACDEGH. τεκέεϲϲι S. — 265, 266 omitt. H in textu, habet in marg man. rec. — 268 κέκλετο Townl. — 269 ἀχιλλῆοϲ E. — 270 ἐϲτὲ CEGHL. — 271 τιμήϲωμεν H Lips. — 272 ἀγχίμαχοι Vrat. A. — 273 εὐρὺ κρείων A. εὐρυκρείων C. ceteri εὐρυκρείων cum Apoll. Soph. 84, 15.

A. c. 252 διχῶϲ γράφεται καὶ ϲόον καὶ ϲάον Didymus, conf. Schol. Ι 681. — 254 οὕτωϲ ἀπέθηκε διὰ τοῦ ᾱ Didymus. — 261 ἀθετεῖται. ἠθέτει καὶ Ἀριϲτοφάνηϲ. ἀρίϲταρχοϲ ἔχονταϲ διὰ τοῦ ᾱ καὶ ἅπαϲαι Didymus. — 272 Ϲέλευκοϲ ἀθετεῖ Schol. V.

ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ' ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα
μηνιθμὸν μὲν ἀποῤῥῖψαι, φιλότητα δ' ἑλέσθαι·
πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
νηὶ πάρα πρυμνῇ μεγαθύμου Πρωτεσιλάου,
καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
ἤγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφιφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δὲ φόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,

V. l. 275 ὡς A. — 276 δὲ πέσον Mosc. 2. τρῷες L. ἀμφι DH. — 277 σμαρδαλέον S. — 278 τρῷες CL. — 279 συνέντεσι AD. — 281 ναῦφιν G Flor. — 282 ἀπορρῖψαι E Rhet. Gr. III, 105, 11: ἀπορρίψαι AC DGHL. — 283 πάπτηνεν C. πάπτηνε G Flor. ὅπηι A. ceteri ὅπη. ὅποι E Vrat. A. φύγη EL. — 285 κατα ACD. μέσον G. πλεῖστοι καὶ ἄριστοι Barocc. Mor. — 286 παρα ADH. παρὰ CGL. πρύμνη libri. — 287 πυραίχμην A. — 288 ἐξαμυδῶνος D. εὐρὺ ῥέοντος ACDEGHLS. — 289 ὃ δ' D. ὅδ' CGHL. κονίῃσι ACDEG. — 290 ἀμφιφόβηθεν C Lips. ceteri ἀμφεφόβηθεν. H ἀμφ' ἐφόβηθεν. — 291 ἄπασι D. — 293 ἔλασε D Lips. κατα CDH. ἔσβεσε G. αἰθόμενον: ἐν ἄλλῳ ἀκάματον πῦρ A. — 294 δὲ φόβηθεν Townl. Vrat. b. ceteri δ' ἐφόβηθεν. — 295 τρῷες L. ἐφέχυντο H. — 296 ἀνα DH. — 297 οὔρεος L. — 298 κινήσῃ ADE 1060. 49 HL Cant. Harl. Vrat. d. Mosc. 2. κινήσει C Eust. 1060, 41. Schol. Π 66. κινήσειν G (an κινῇσιν?). στεροπηγερέτα A.

A. c. 281 Aristarchus ἐλπόμενοι: ἐλπόμεναι Zenodotus. — 288 conf. ad B 849. — 290 ἀρίσταρχος ἰακῶς ἀμφὶ φόβηθεν Didymus.

ἔκ τ' ἔφανεν πᾶϲαι ϲκοπιαὶ καὶ πρώονεϲ ἄκροι
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπεῤῥάγη ἄϲπετοϲ αἰθήρ,
ὣϲ Δαναοὶ νηῶν μὲν ἀπωϲάμενοι δήιον πῦρ
τυτθὸν ἀνέπνευϲαν, πολέμου δ' οὐ γίγνετ' ἐρωή.
οὐ γάρ πώ τι Τρῶεϲ ἀρηιφίλων ὑπ' Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
ἀλλ' ἔτ' ἄρ' ἀνθίϲταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδαϲθείϲηϲ ὑϲμίνηϲ
ἡγεμόνων. πρῶτοϲ δὲ Μενοιτίου ἄλκιμοϲ υἱὸϲ
αὐτίκ' ἄρα ϲτρεφθέντοϲ Ἀρηιλύκου βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲε·
ῥῆξεν δ' ὀϲτέον ἔγχοϲ, ὁ δὲ πρηνὴϲ ἐπὶ γαίῃ
κάππεϲ'. ἀτὰρ Μενέλαοϲ ἀρήιοϲ οὖτα Θόαντα
ϲτέρνον γυμνωθέντα παρ' ἀϲπίδα, λῦϲε δὲ γυῖα.
Φυλείδηϲ δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύϲαϲ
ἔφθη ὀρεξάμενοϲ πρυμνὸν ϲκέλοϲ, ἔνθα πάχιϲτοϲ
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεοϲ αἰχμῇ
νεῦρα διεϲχίϲθη· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
Νεϲτορίδαι δ' ὁ μὲν οὔταϲ' Ἀτύμνιον ὀξέι δουρὶ
Ἀντίλοχοϲ, λαπάρηϲ δὲ διήλαϲε χάλκεον ἔγχοϲ·
ἤριπε δὲ προπάροιθε. Μάριϲ δ' αὐτοϲχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουϲε καϲιγνήτοιο χολωθείϲ,
ϲτὰϲ πρόϲθεν νέκυοϲ· τοῦ δ' ἀντίθεοϲ Θραϲυμήδηϲ

---

V. ι. 299 ἔφανεν AL Cant. Harl. ἔφανε D. ἤφανεν Harl. ἔφανον EG. ἔφαναν CH Lips. Ven. B. Vrat. b. Mosc. 2. conf. Θ 557. H. U. 288 sq. — 300 ἄρ' omitt. E. ἆρ ADGHL. ὑπὲῤῥάγη G (gravis et spir. 2. man.). ἀπεῤῥάγη L. — 301 ὡϲ A. νηῶν: νηὸϲ L. — 302 πολέμῳ Lips. γίνετ' ACDEGHL Et. Mg. 380, 45. — 303 γάρ πω τι DL. πῶ C. τρῷεϲ L. — 304 φοβέοντο: ἐφέβοντο H Vrat. d. ἀπο H. — 305 ἆρ ADGHL: ἂν E. ὑποεῖκον A. — 306 ὑϲμήνηϲ G. — 308 αὐτίκα δ' ἄρα L. — 309 διὰ πρὸ GH. διὰ προ C. διαπροδε D. ἔλαϲϲε ACG. — 310 ῥῆξε G Flor. ἐπι H. γαίῃ DGHL Cant. Vrat. b. d. Flor. γαίηϲ ACES, conf. 413. 579. P 300. Φ 118. — 311 οὖτα CDL. — 315 μυιὼν AD Et. Mg. 593, 52. μυιῶν Cant. Apoll. Soph. 114, 4. μυῶν G Lips. Flor. μύων Et. Gud. 398, 50. ἀνθρώπων Apoll. Soph. 114, 4. περϊ H. αἰχμῇ: γρ. ὁρμῇ Lips. — 316 ὄϲϲε κάλυψε AD Cant. Townl. Vrat. b. d. κάλυψεν HL. ὄϲϲ' ἐκάλυψε CEG. — 317 ὃ μὲν C. — 319 μάρηϲ Barocc. Lips. Vrat. A. Mosc. 2. αὐτοϲχεδὸν G. — 321 πρόϲθε DE Vrat. A. προπάροιθε νέκυοϲ Harl.

---

A. c. 299, 300 asterisci, οὐκ ὀρθῶϲ Θ 557, 558. — 305 ἀνθίϲταντο: alii ἄνθ' ἵϲταντο. ὑπόεικον conf. H. T. 403. — 313 ἐφορμηθέντα: ὑφορμηθέντα Aristophanes teste Schol. BL.

ἔφθη ὀρεξάμενοϲ πρὶν οὐτάϲαι, οὐδ᾽ ἀφάμαρτεν,
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸϲ ἀκωκὴ
δρύψ᾽ ἀπὸ μυώνων, ἀπὸ δ᾽ ὀϲτέον ἄχριϲ ἄραξε.
δούπηϲεν δὲ πεϲών, κατὰ δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν.
ὣϲ τὼ μὲν δοιοῖϲι καϲιγνήτοιϲι δαμέντε
βήτην εἰϲ ἔρεβοϲ, Ϲαρπηδόνοϲ ἐϲθλοὶ ἑταῖροι,
υἷεϲ ἀκοντιϲταὶ Ἀμιϲωδάρου, ὅϲ ῥα Χίμαιραν
θρέψεν ἀμαιμακέτην πολέϲιν κακὸν ἀνθρώποιϲιν.
Αἴαϲ δὲ Κλεόβουλον Ὀιλιάδηϲ ἐπορούϲαϲ
ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
λῦϲε μένοϲ, πλήξαϲ ξίφει αὐχένα κωπήεντι.
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφοϲ αἵματι, τὸν δὲ κατ᾽ ὄϲϲε
ἔλλαβε πορφύρεοϲ θάνατοϲ καὶ μοῖρα κραταιή.
Πηνέλεωϲ δὲ Λύκων τε ϲυνέδραμον· ἔγχεϲι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ᾽ ἠκόντιϲαν ἄμφω·
τὼ δ᾽ αὖτιϲ ξιφέεϲϲι ϲυνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθοϲ φάλον ἤλαϲεν, ἀμφὶ δὲ καυλὸν
φάϲγανον ἐῤῥαίϲθη· ὃ δ᾽ ὑπ᾽ οὔατοϲ αὐχένα θεῖνε
Πηνέλεωϲ, πᾶν δ᾽ εἴϲω ἔδυ ξίφοϲ, ἔϲχεθε δ᾽ οἶον
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνηϲ δ᾽ Ἀκάμαντα κιχεὶϲ ποϲὶ καρπαλίμοιϲι
νύξ᾽ ἵππων ἐπιβηϲόμενον κατὰ δεξιὸν ὦμον.
ἤριπε δ᾽ ἐξ ὀχέων, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύϲ.
Ἰδομενεὺϲ δ᾽ Ἐρύμαντα κατὰ ϲτόμα νηλέι χαλκῷ
νύξε· τὸ δ᾽ ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρηϲε
νέρθεν ὑπ᾽ ἐγκεφάλοιο, κέαϲϲε δ᾽ ἄρ᾽ ὀϲτέα λευκά·

---

V. L. 324 ἀπο A. μυιώνων AD Vrat. A. Mosc. 2. conf. ad 315. ἀποδ᾽ A. ἄραξε ACD 1. man. G. — 325 δούπηϲε E Lips. ὄϲϲ᾽ ἐκάλυψεν G. — 326 δαμέντε omnes, non δαμέντεϲ. — 328 ἀμιϲαδάρου L. ἀμυϲωδάρου Harl. ὃϲ ῥὰ DL. — 329 ἀνθρώποιϲι D. — 331 ζωὸν ἔλαβε S. κατα H. αὖθιϲ E. — 332 λῆϲε μένοϲ G. ξίφει αὐχένα πλήξαϲ L. — 333 πᾶϲ G. ὑποθερμάνθη Schol. Λ 534. κατόϲϲε D. — 334 ἔλαβε E. — 335 ἔγχεϲι μὲν γὰρ — 337 λύκων μὲν omitt. H in textu et versus 336, 337 in margine habet scriptos man. rec. — 337 αὖθϊϲ C. — 338 καυλὸν: καλὸν ACDHL Cant. θάλον S. καυλῷ Mor. Barocc. — 339 ὃ δ᾽ D. ὅδ᾽ CGHL. ἀπ᾽ οὔατοϲ Vrat. b. θεῖνε ACDGL Syr. — 340 ἔϲχε δὲ οἶον G Flor. Rom. ἔϲχε δ᾽ οἶον H. — 342 κιχεὶϲ: χικεὶϲ G. καρπαλίμοιϲι ACDGHL Syr. — 343 κατα DH. — 344 omitt. Lips. κατα DL. — 345 ἐρύβαντα S. ἐριδάμαντα L. — 346 δόρι L. ἐξεπέρηϲε ACDG . . . . ЄΡΗϹЄ Syr. — 347 κέαϲε E Townl. κέδαϲε Lips. et γρ. κέαϲε. ἂρ ADEGHL. ὀϲτέα χαλκά L.

---

A. c. 324 ἄχριϲ Aristarchus.

ἐκ δ' ἐτίναχθεν ὀδόντες, ἐνέπληςθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ ςτόμα καὶ κατὰ ῥῖνας
πρῆςε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαςτος.
ὡς δὲ λύκοι ἄρνεςςιν ἐπέχραον ἢ ἐρίφοιςι
ςίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἵ τ' ἐν ὄρεςςι
ποιμένος ἀφραδίῃςι διέτμαγεν· οἳ δὲ ἰδόντες
αἶψα διαρπάζουςιν ἀνάλκιδα θυμὸν ἐχούςας·
ὣς Δαναοὶ Τρώεςςιν ἐπέχραον· οἳ δὲ φόβοιο
δυςκελάδου μνήςαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυςτῇ
ἵετ' ἀκοντίςςαι· ὃ δὲ ἰδρείῃ πολέμοιο,
ἀςπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους,
ςκέπτετ' ὀιςτῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ γίγνωςκε μάχης ἑτεραλκέα νίκην·
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, ςάω δ' ἐρίηρας ἑταίρους.
ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴςω
αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ,
ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε,
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
ἔκφερον ὠκύποδες ςὺν τεύχεςι, λεῖπε δὲ λαὸν
Τρωικόν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.

---

V. L. 348 δὲ τίναχθεν EG. — 349 ἀνα D. ῥίνας G. — 350 πρῆςςε H. ΑΜΦΕΚΑΛΥΨΕ Syr. — 351 ἄρ ADEGHL Eust. 1061, 24. ἕλεν C. ἕκαςτον Eust. 1061, 24. ΈΚΑϹΤΟΝ Syr. ἐν ἄλλῳ ἄνδρας ἀρίςτους A. — 352 ἄρνεςιν E. ἐπίχραον S. ἐρίφοιςι ACDEG Syr. — 353 ὑπ' ἐκ ACDE GHL. ΥΠ' ΕΚ Syr. ἐρεύμενοι C 1. man. ὄρεςςι ACDGL Syr. — 354 ἀφραδίῃςιν G. διέτμαγεν ACDEGHL Schol. Π 507: διέτμαγον S Syr. οἳ δὲ C. — 356 ἀπέχραον G. οἳ δὲ C. — 358 ἐφέκτορι D. ὑφ' ἕκτορι L. — 359 ἵετ' D. ἀκοντίςαι EL Vrat. A. Lips. ἀκοντίςαι (with ς written above) D. ὁ δ' L. ἰδρείῃ CDH Lips. — 360 κεκαλυμμένοι Lips. — 362 ΓΙΓΝΩϹΚΕ Syr. γίνωςκε ACDEGHL. — 363 ὣς D. ὡς AG. ceteri ὣς. — 365 τείνῃ: τείνει E. τείνειηι (with ηι written above) D (i. e. τείνει). τείνοι Barocc. Mor. — 366 ὡς A. γένετ' CE Lips. φόφος G. — 367 κἀτα D. — 368 ςυν D. λῖπε L. — 369 ἔρυκε ACDGH. ΈΕΡΓΕ Syr.

---

A. c. 352 ἐπέχραον: ἐπέχρων Aristophanes? conf. Schol. β 50. — 353 οὕτως αἵ τε θηλυκῶς αἱ ὄϊες Didymus. — 354 οὕτως διὰ τοῦ ε̅ διέτμαγεν Didymus, conf. Ariston. ad Π 507 et adnot. ad Α 531. — 365 λαίλαπα: ἐν τοῖς ὑπομνήμαςι κατὰ δοτικὴν ἦν λαίλαπι Schol. LV.

πολλοὶ δ' ἐν τάφρῳ ἐρυςάρματες ὠκέες ἵπποι
ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων.
Πάτροκλος δ' ἕπετο cφεδανὸν Δαναοῖcι κελεύων,
Τρωcὶ κακὰ φρονέων· οἳ δὲ ἰαχῇ τε φόβῳ τε
πάcας πλῆcαν ὁδούς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἄελλα
cκίδναθ' ὑπὸ νεφέων, τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ ἄcτυ νεῶν ἄπο καὶ κλιcιάων.
Πάτροκλος δ' ᾗ πλεῖcτον ὀρινόμενον ἴδε λαόν,
τῇ ῥ' ἔχ' ὁμοκλήcας· ὑπὸ δ' ἄξοcι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνακυμβαλίαζον.
ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
[ἄμβροτοι, οὓς Πηλῆι θεοὶ δόcαν ἀγλαὰ δῶρα,]
πρόccω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
ὡς δ' ὑπὸ λαίλαπι πᾶcα κελαινὴ βέβριθε χθὼν
ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δή ῥ' ἄνδρεccι κοτεccάμενος χαλεπήνῃ,
οἳ βίῃ εἰν ἀγορῇ cκολιὰς κρίνωcι θέμιcτας,
ἐκ δὲ δίκην ἐλάcωcι θεῶν ὄπιν οὐκ ἀλέγοντες·
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουcι ῥέοντες,
πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουcι χαράδραι,

V. L. 370 ἐρυςάρματες A. ἐρυςάρματοι (superscr. ες) Lips. ὠχέες G. — 373 τρωcὶ L. οἳ δὲ C. οἳ δ' D. οἵ δ' Lips. οἵδ' H. φόφῳ G. — 374 ἀέλλη ACD EGHLS Syr. Vrat. A. Lips. edd. vett. sed ἄελλα confirmatur analogia formae θύελλα. — 375 ὑπαὶ ACEGHLS Syr. et Heynii libri. ὑπαι D. — 376 πρὸ τὶ C. ποτὶ L. προτιάcτυ D. ἐν ἄλλῳ ἄψορρον προτὶ ἄcτυ ἐλιχθέντων ὑπαχαιῶν A. — 377 εἶδε CE. — 378 ὑπο L. ἄξωcι G. — 379 πρηνέες ἐξοπίcω δίφροι H. ἐξοχέων D. ἀνακυμβαλίαζον A Syr. ἀν' ἐκυμβαλίαζον S: vulgo ἀνεκυμβαλίαζον cum Apoll. Soph. 34, 2. Zonar. Lex. 219. Et. Mg. 96, 54. Cram. An. Par. IV, 11, 6. — 380 ἀνατάφρον G. ὑπέκθορον Cant. — 381 omitt. ACDHS Syr. Vrat. d. Flor. habent EGL. — 382 ἐπι AD. κέλλετο Vrat. A. — 383 ἴετο A. ἵετο D. ὠκέας G. — 384 ΩϹΔΟΘ' Syr. ὑπο A. βέβριθε: βέβρυχε Barocc. Mor. Vrat. A. — 385 ἤματ' D. ἤματι χειμερίω L. λαβρότατον Eust. 1066, 2 et libri: λαυρότατον Eust. 1065, 44 et 64 Lips. Rom. χέῃ L ex corr. — 386 δὴ ἄνδρεccι CH Syr. Mosc. 2. Lips. δή ῥ' ἄνδρεccι AE Rom. δή τ' ἄνδρεccι GL Cant. Townl. Vrat. A. Flor. δῇ τ' D. δῆ τ' S. χαλεπήινη C. — 387 εἶ ἀγορῇ G. κρίνειε Et. Mg. 197, 7. — 389 τε omitt. G. — 390 κλιτῦc CEGL Syr. κλιτῦc (sic) A. κλειτῦc H. κλιτὺc D Townl.

A. c. 372 cφεδανὸν: οὕτως ὡς cφοδρὸν προείρηται Schol. A conf. H. T. 354. — 379 ἀνακυμβαλίαζον: οὕτως ἀρίcταρχος, ἄλλοι δὲ ἀνεκυμβαλίαζον Didymus. — 390 κλιτῦc: κλιτὺc Herodianus. χαράδραι Aristarchus, προπαροξυτόνως.

ἐϲ δ' ἅλα πορφυρέην μεγάλα ϲτενάχουϲι ῥέουϲαι
ἐξ ὀρέων ἐπὶ κάρ, μινύθει δέ τε ἔργ' ἀνθρώπων·
ὣϲ ἵπποι Τρῳαὶ μεγάλα ϲτενάχοντο θέουϲαι.
Πάτροκλοϲ δ' ἐπεὶ οὖν πρώταϲ ἐπέκερϲε φάλαγγαϲ,
ἂψ ἐπὶ νῆαϲ ἔεργε παλιμπετέϲ, οὐδὲ πόληοϲ
εἴα ἱεμένουϲ ἐπιβαινέμεν, ἀλλὰ μεϲηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεοϲ ὑψηλοῖο
κτεῖνε μεταΐϲϲων, πολέων δ' ἀπετίνυτο ποινήν.
ἔνθ' ἦ τοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ
ϲτέρνον γυμνωθέντα παρ' ἀϲπίδα, λῦϲε δὲ γυῖα·
δούπηϲεν δὲ πεϲών. ὁ δὲ Θέϲτορα, Ἤνοποϲ υἱόν,
δεύτερον ὁρμηθείϲ· ὁ μὲν εὐξέϲτῳ ἐνὶ δίφρῳ
ἧϲτο ἀλείϲ· ἐκ γὰρ πλήγη φρέναϲ, ἐκ δ' ἄρα χειρῶν
ἡνία ἠίχθηϲαν· ὁ δ' ἔγχεϊ νύξε παραϲτὰϲ
γναθμὸν δεξιτερόν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων,
ἕλκε δὲ δουρὸϲ ἑλὼν ὑπὲρ ἄντυγοϲ, ὡϲ ὅτε τιϲ φὼϲ
πέτρῃ ἔπι προβλῆτι καθήμενοϲ ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
ὣϲ ἕλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
κὰδ δ' ἄρ' ἐπὶ ϲτόμ' ἔωϲε· πεϲόντα δέ μιν λίπε θυμόϲ.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεϲϲύμενον βάλε πέτρῳ

---

V. L. 391 ΕΙϹΔ' Syr. — 393 ἐξορέων AD. ἐπὶ κὰρ CEGHL Schol. B 443. Herodianus περὶ διχρόνων 283, 7. Suidas I, 2, 409, 7. Draco de Metr 36, 21. Cram. Ep. 227, 14. ἐπὶ κάρ' Apoll. Soph. 73, 20. ἐπικάρ AD Vrat. A. Et Mg. 360, 17. Zonar. Lex. 855. δέ τε: δέ τ' E Lips. μηνύθει δέ τοι ἔργ' ἀνδρῶν Apoll. Soph. 73, 20. — 393 ὡϲ A. τρωιαὶ AL Vrat. d. τρῳαὶ H. τρωαὶ CE Syr. τροαὶ G. τρώων D. ϲτενάχονται H. — 394 ΠΡΩΤΑΙϹΕΝΕΚΕΡϹΕΦΑΛΑΓΞΙ Syr. ἐπέκυρϲε D Townl. Lips. Vrat. d. ἀπέκερϲε Cant. δ' ἀπέκερϲε S. — 395 παλιμπετὲϲ A. παλῖπετέϲ H. — 396 ἱεμένουϲ D. ἐπιβαίνειν L. — 398 ἀπετίνυτο ADE 1067, 4 GH Barocc. Townl. Vrat. b. d. A. Mosc. 2. ἀπετίννυτο CE 1066, 49 L. — 399 ἤτοι πρῶτον πρόνοον βάλε H. ἐν ἄλλῳ βάλε ποιμένα λαῶν A. — 401 ὁ δὲ C. ἴνωποϲ D. — 402 δεύτεροϲ E. ὁ μὲν C. ἐϋξέϲτωι ACD Vrat. A. εὐξένῳ G. ἐνι D. — 403 ἀλεὶϲ AEGL Lips. Townl. Vrat. A. καὶ γὰρ L. — 404 ὃδ' CGHL. — 405 δια A. ὀδόνταϲ Vrat. A. — 406 ἕλκε ACDEHL Townl. Vrat. d. Mosc. 2.: εἷλκε G. τῖϲ C. — 407 ἐπὶ ACEGHL Athenaeus VII, 284. ἐπι D. ἰχθῦν ACD Et. Mg. 468, 13; 20; 45. — 408 ἐνὶ ἤνοπι Schol. Ω 81. — 409 εἷλκ' CDGS. εἷλκεν E Lips. δίφοιο G. κεχηνότα C. — 410 καδδ' ACDGHL. ἆρ ADEGHL. — 411 ἐρύλαον D Harl. Mosc. 2. man. rec. ἐρύαλον ACGH. εὐρύλαον LS. εὐρύαλον Cant. Mor. Lips. Schol. Δ 461. ἐπεϲϲύμενον (ϲ supra) A. ἐπεϲϲύμενοϲ D. πέτρῳ ἢ πέτρῃ E.

---

A. c. 393 τρῳαὶ veteres, conf. H. U. 214. — 406 ἕλκε χωρὶϲ τοῦ ῑ ἀρίϲταρχοϲ, καὶ ἑξῆϲ (409) ὡϲ ἕλκ' ἐκ δίφροιο Didymus.

μέϲϲην κὰκ κεφαλήν· ἣ δ᾿ ἄνδιχα πᾶϲα κεάϲθη
ἐν κόρυθι βριαρῇ· ὃ δ᾿ ἄρα πρηνὴϲ ἐπὶ γαίῃ
κάππεϲεν, ἀμφὶ δέ μιν θάνατοϲ χύτο θυμοραϊϲτήϲ.
αὐτὰρ ἔπειτ᾿ Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαϲτορίδην Ἐχίον τε Πύριν τε
Ἰφέα τ᾿ Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον,
πάνταϲ ἐπαϲϲυτέρουϲ πέλαϲε χθονὶ πουλυβοτείρῃ.
Ϲαρπηδὼν δ᾿ ὡϲ οὖν ἴδ᾿ ἀμιτροχίτωναϲ ἑταίρουϲ
χέρϲ᾿ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμένταϲ,
κέκλετ᾿ ἄρ᾿ ἀντιθέοιϲι καθαπτόμενοϲ Λυκίοιϲιν·
αἰδὼϲ ὦ Λύκιοι, πόϲε φεύγετε; νῦν θοοὶ ἔϲτε.
ἀντήϲω γὰρ ἐγὼ τοῦδ᾿ ἀνέροϲ, ὄφρα δαείω,
ὅϲ τιϲ ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶαϲ, ἐπεὶ πολλῶν τε καὶ ἐϲθλῶν γούνατ᾿ ἔλυϲεν.
ἦ ῥα, καὶ ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε.
Πάτροκλοϲ δ᾿ ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
οἳ δ᾿, ὥϲ τ᾿ αἰγυπιοὶ γαμψώνυχεϲ, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ᾿ ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,
ὣϲ οἳ κεκλήγοντεϲ ἐπ᾿ ἀλλήλοιϲιν ὄρουϲαν.
τοὺϲ δὲ ἰδὼν ἐλέηϲε Κρόνου πάιϲ ἀγκυλομήτεω,
Ἥρην δὲ προϲέειπε καϲιγνήτην ἄλοχόν τε·

---

V. l. 412 κακκεφαλήν ACDGH Schol. Δ 461. κὰκκεφαλήν L. ἣ δ᾿ D. ἥδ᾿ CGHL. — 413 ὃ δ᾿ D. ὅδ᾿ CGHL. — 414 ἀμφι D. δέ μιν libri cum Schol. B 2. δ 793: δέ οἱ Schol. Δ 461, conf. N 544. — 415 εὐρύμαντα L. — 416 ἔχιόν L: ceteri ἐχίον. πύρην G: ceteri πύριν. Lips. πύρον. — 417 ἐφέα G. πολύμηλον A. — 418 πέλαϲεν H. — 419 δ᾿ omitt. Mor. Barocc. ὡϲ εἶδεν ἀμιτρ. Lips. ἀμιτροχίτωναϲ A. — 420 ὑπὸ CGL. ὕπο A. δαμένταϲ: θανόνταϲ L. — 421 ἆρ DGHL. ἀρ A. λυκίοιϲι C. λυκίηθεν (οιϲι) D. — 422 θοοὶ ἔϲτε AD: θοοὶ ἐϲτὲ CGHL. θοοί ἐϲτε E Plutarchus de Aud. poët. 11. — 423 δ᾿ ἄρ᾿ ἐγὼ Vrat. A. — 424 ὧδε D. πολλὰ κακὰ EH. ἔοργε ACDEGHL. — 425 τρῷαϲ L. ἐπὶ G. πολλῶν καὶ Barocc. — 426 ῥὰ CGHL. ἆλτο C: ceteri ἆλτο. χαμᾶζε ADEGH: χαμάζε CL. — 428 οἶδ᾿ D. οἶδ᾿ CGHL. Cram. Epim. 102, 27. ὡϲ δ᾿ ὅτε αἰγυπιοὶ Barocc. — 429 κλάζονται G. κλάζοντεϲ L. μάχωνται ADL Townl. μάχονται CE GHS. μάχοντε Lips. — 430 ὡϲ ACDGHL. κεκλήγοντεϲ ACDEGH: κεκληγότεϲ LS. ἐπαλλήλοιϲιν D. ἐπ᾿ ἀλλήλοιϲ ἐπόρουϲαν Flor. — 431 παῖϲ libri.

---

A. c. 415 Ἀμφοτερὸν Aristarchus, ὀξυτόνωϲ, conf. H. T. 400. — 422 θοοὶ ἔϲτε, conf. 494. — 430 κεκλήγοντεϲ: ἐν τῇ ἑτέρᾳ τῶν ἀριϲτάρχου κεκληγῶτεϲ Didymus, conf. H. T. 296.

ὤ μοι ἐγών, ὅ τέ μοι Cαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε φρεςὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέςςης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμῳ,
ἦ ἤδη ὑπὸ χερςὶ Μενοιτιάδαο δαμάςςω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴςῃ,
ἂψ ἐθέλεις θανάτοιο δυςηχέος ἐξαναλῦςαι;
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, cὺ δ᾽ ἐνὶ φρεςὶ βάλλεο ςῇςιν·
αἴ κε ζὼν πέμψῃς Cαρπηδόνα ὃν δὲ δόμον δέ,
φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃςι καὶ ἄλλος
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑςμίνης·
πολλοὶ γὰρ περὶ ἄςτυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖςιν κότον αἰνὸν ἐνήςεις.
ἀλλ᾽ εἴ τοι φίλος ἐςτί, τεὸν δ᾽ ὀλοφύρεται ἦτορ,
ἤ τοι μέν μιν ἔαςον ἐνὶ κρατερῇ ὑςμίνῃ
χέρς᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,

---

V. L. 433 ὤιμοι ACE. αἲ αἲ ἐγών Plato Rep. III, 388 C. ὅτε libri. μοι: μῖν H. — 434 ὑπο A. — 435 μέμονεν H. μαίμον᾽ ἐν φρεςίν S. — 436 ῆ G. ἀπὸ GHL Flor. ἄπο D. — 437 θείωι D. ἐν ACDEHL Vrat. b. d. A. Mosc. 2. Cram. Ep. 110, 11: ἐνὶ G. — 438 ῆ AD: ceteri ἤ. ὑπο A. δαμάςω D. — 440 ἔειπας ἢ ἔειπες E. — 442 ἐθέλοις Vrat. b. — 443 ἔρδ᾽ GL. οὔ τι L 1. man. — 444 ἐνι D. ἐν E. — 445 κεν Vrat. A. κε ζωὸν DH. κεν ζωὸν LS. κεν ζῶντα E. ὃν δὲ δόμον δὲ AD: ceteri ὅνδε δόμονδε. — 447 ἄπὸ A. — 449 τοῖςι D Lips. Vrat. A. — 450 εἴ τοι: ἤτοι AE. φίλος CGH: φίλον ADL Mor. Cant. Vrat. A. φίλον ἢ φίλος E, conf. Ψ 548. — 451 libri ἤτοι. ἐνι AD. — 452 ὑπὸ CDEGL. ὑπο A. — 453 ἐπεὶ δή: ἐπειδὴ ACEH Barocc. Mor. Lips. Vrat. d. Mosc. 2. Rom. Apoll. Soph. 17, 12. vulgo ἐπὴν δὴ cum DGL. ἐν ἄλλῳ ἐπὴν δὴ τότε (sic) A. ἐπεὶ δὴ cum coniunctivo legitur Λ 478; ἐπεὶ Ο 363. 680. β 135 (?). υ 86. λίπῃ: λίπε Apoll. Soph. 17, 12. Eust. 1062, 13. ψυχή ται G. τε omitt. L.

---

A. c. 433 de scriptura ᾤμοι conf. H. U. 188. — 431—461 Ζηνόδοτος περιγράφει τὴν ὁμιλίαν τοῦ Διὸς καὶ τῆς Ἥρας. — 437 de ἐν in hac sede versus conf. 514. Υ 385. ν 322. ρ 526. τ 271. Β 610. Γ 244. Ε 574. Ν 398. Ο 606. 624. Ρ 514. 753. Υ 435. Χ 426. α 51. δ 782. θ 53. ι 535. κ 290. λ 115. μ 264. ρ 157. ς 84. 438 ἤ, non ἤ, Herodianus. — 445 οὕτως ἀρίςταρχος μονοςυλλάβως ζῶν (sic). ἄλλοι δὲ ζωόν Didymus. ζών, non ζῶν, scribitur teste Herodiano ad Ε 887. — 450 ἀρίςταρχος φίλος ἐςτί, ἄλλοι δὲ φίλον ἐςτί Didymus.

πέμπειν μιν θάνατόν τε φέρειν καὶ νήδυμον ὕπνον,
εἰϲ ὅ κε δὴ Λυκίηϲ εὐρείηϲ δῆμον ἵκωνται,
ἔνθά ἑ ταρχύϲουϲι καϲίγνητοί τε ἔται τε
τύμβῳ τε ϲτήλῃ τε· τὸ γὰρ γέραϲ ἐϲτὶ θανόντων.
ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αἱματοέϲϲαϲ δὲ ψιάδαϲ κατέχευεν ἔραζε
παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλοϲ ἔμελλε
φθίϲειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρηϲ.
οἳ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
ἔνθ' ἦ τοι Πάτροκλοϲ ἀγακλειτὸν Θραϲύμηλον,
ὅϲ ῥ' ἠὺϲ θεράπων Σαρπηδόνοϲ ἦεν ἄνακτοϲ,
τὸν βάλε νείαιραν κατὰ γαϲτέρα, λῦϲε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
δεύτερον ὁρμηθείϲ, ὃ δὲ Πήδαϲον οὔταϲεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ' ἔβραχε θυμὸν ἀίϲθων.
κὰδ δ' ἔπεϲ' ἐν κονίῃϲι μακών, ἀπὸ δ' ἔπτατο θυμόϲ.
τὼ δὲ διαϲτήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ ϲφι
ϲύγχυτ', ἐπεὶ δὴ κεῖτο παρήοροϲ ἐν κονίῃϲι.
τοῖο μὲν Αὐτομέδων δουρὶ κλυτὸϲ εὕρετο τέκμωρ·
ϲπαϲϲάμενοϲ τανύηκεϲ ἄορ παχέοϲ παρὰ μηροῦ,
ἀίξαϲ ἀπέκοψε παρήορον οὐδὲ μάτηϲε·

---

V. L. 454 θανατόν γε L. — 455 εἰϲ ὅκε A: vulgo εἰϲόκε. D εἰϲόκεν. δὴ omitt. C. ἵκωνται: ἐν ἄλλῳ ἵκοιτο A. — 456 ἔνθά ἑ ACDGHL. ὄφρά ἑ Stob. Floril. 123, 7. ταρχύϲωϲι H Barocc. Lips. Vrat. b. d. A. Stobaeus. καϲίγνητόϲ G. — 458 ὥϲ A. — 460 ἔμελλε ACDGH. — 461 ἐνὶ L. — 462 οἵδ' CGHL. — 463 πάτροκλοϲ μὲν CG Ven. B. θραϲύμηλον ACEL Barocc. Mor. θραϲύδημον DHS Lips. Vrat. b. d. ἐν ἄλλῳ θραϲύδημον A. θραϲυμήδην G Cant. — 464 ἦεν ἄριϲτοϲ S. — 467 δεύτερον CDH. δεύτεροϲ$^{ν}$ A. vulgo δεύτεροϲ. ὃ δὲ C. — 468 δὲ ξιὸν G. ὃ δ' D. ὅ δ' CGL. ἀΐϲϲων Lips. — 469 καδδ' ACDG. κάδδ' Cram. Ep. 218, 24. 253, 9; 18. 281, 17. καδδέπεϲ' HL. ἔπεϲ' ἐν: ἔπεϲεν Vrat. d. Cram. Ep. 281, 17. ἔπεϲε 253, 9 et 18. ἄπο CDHL. — 470 ζυγὸν: ζυγὸϲ Vrat. A. ξύλον Cram. Ep. 268, 7. ϲφι ACEGHL post ras. vulgo ϲφιν. — 471 παρήοροϲ H. κονίῃϲι ACDEGH. — 472 δουρὶ κλυτὸϲ A Vrat. b. d.: ceteri δουρικλυτὸϲ. εὕρετο: εὕρατο C Lips. — 473 ϲπαϲά-μενοϲ C Vrat. A. τανάηκεϲ Vrat. A. — 474 παρήορον. H. οὐδὲ μάτηϲε D. οὐδὲ μάτηϲεν S. οὐδ' ἐμάτηϲε ACGH. οὐδ' ἐμάτηϲεν EL.

---

A. c. 454 νήδυμον Aristarchus μετὰ τοῦ ν̄. — 467 διὰ τοῦ ν̄ γρα-πτέον τὸ δεύτερον ὁρμηθείϲ Didymus. οἱ ὑπομνηματιϲταὶ δεύτερον διὰ τοῦ ν̄ Schol. V. ἐν τῇ Φιλήμονοϲ οὕτωϲ ἐφέρετο „ὁ δὲ Πήδαϲον ἤλαϲεν ἵππον“ Didymus. γράφει Ἀρίϲταρχοϲ „ὁ δὲ Πήδαϲον ἀγλαὸν ἵππον, τόν ῥά ποτ' Ἠετίωνοϲ ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύϲ, ὃϲ καὶ θνητὸϲ ἐὼν ἕπεθ' ἵπποιϲ ἀθανάτοιϲι (153, 154), τὸν βάλε δεξιὸν ὦμον“ Schol. V.

τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρϲι τάνυϲθεν·
τὼ δ' αὖτιϲ ϲυνίτην ἔριδοϲ πέρι θυμοβόροιο.
ἔνθ' αὖ Ϲαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριϲτερὸν ἤλυθ' ἀκωκὴ
ἔγχεοϲ, οὐδ' ἔβαλ' αὐτόν· ὃ δ' ὕϲτεροϲ ὤρνυτο χαλκῷ
Πάτροκλοϲ· τοῦ δ' οὐχ ἅλιον βέλοϲ ἔκφυγε χειρόϲ,
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένεϲ ἔρχαται ἀμφ' ἁδινὸν κῆρ.
ἤριπε δ' ὡϲ ὅτε τιϲ δρῦϲ ἤριπεν ἢ ἀχερωίϲ,
ἠὲ πίτυϲ βλωθρή, τήν τ' οὔρεϲι τέκτονεϲ ἄνδρεϲ
ἐξέταμον πελέκεϲϲι νεήκεϲι νήιον εἶναι·
ὣϲ ὁ πρόϲθ' ἵππων καὶ δίφρου κεῖτο τανυϲθείϲ,
βεβρυχώϲ, κόνιοϲ δεδραγμένοϲ αἱματοέϲϲηϲ.
ἠύτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεϲϲι βόεϲϲιν,
ὤλετό τε ϲτενάχων ὑπὸ γαμφηλῇϲι λέοντοϲ,
ὣϲ ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸϲ ἀϲπιϲτάων
κτεινόμενοϲ μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον, πολεμιϲτὰ μετ' ἀνδράϲι, νῦν ϲε μάλα χρὴ
αἰχμητήν τ' ἤμεναι καὶ θαρϲαλέον πολεμιϲτήν·
νῦν τοι ἐελδέϲθω πόλεμοϲ κακόϲ, εἰ θοόϲ ἐϲϲι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτοραϲ ἄνδραϲ
πάντῃ ἐποιχόμενοϲ Ϲαρπηδόνοϲ ἀμφιμάχεϲθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸϲ ἐμεῦ πέρι μάρναο χαλκῷ.

---

V. L. 475 τάνυϲθε H. — 476 αὖθϊϲ C. ξυνίτην Cant. Vrat. A. περὶ DGL Mosc. 2. Rom. — 473 ὃ δ' D. ὅδ' CGHL. — 480 ἔφυγε S. — 481 ἀμφαδινὸν D. αδινὸν A. ἀδινὸν C Hesych. I, 46. vulgo ἀδινὸν. — 482 τιϲ omitt. L. τῖϲ C. — 483 τήν τ': τὴν L. — 484 ἐξέτεμον Vrat. A. — 485 ὡϲ A. ὃ ACDHL κεῖτο omitt. G Rom. — 486 κονίηϲ Vrat. A. — 487 ἀγέληφι CEH. — 488 ἐν: $\overset{\pi}{ἐν}$ A. ἐπ' E 1072, 12 H Mor. Barocc. Vrat. b. d. A. ἐνειλιπόδεϲϲι D. εἰλιπόδεϲϲι G Flor. βόεϲϲι A. — 489 τε omitt. L. ὑπο A. γαμφηλοῖϲι L. — 490 ὡϲ A. ὑπο AH. — 492 πέπων Mor. — 493 ἔμμεναι Lips Vrat. A. Flor. — 494 τοὶ G. θοὸϲ ἐϲϲὶ L. — 495 ὤτρυνον G Vrat. d. — 496 πάντη ADEGH. πάντῃ CL. ἀμφὶ μάχεϲθαι A. — 497 omitt. C. 1. man. πέρὶ A. περιμάρναο CHL.

---

A. c. 483 οὔρεϲι τέκτονεϲ Aristarchus: οὐρεϲιτέκτονεϲ Nicias. ὑφ' ἕν, conf. N 390. — 486 βεβρυχώϲ: τινὲϲ διὰ τοῦ κ̄, κακῶϲ Schol. V. — 488 διὰ τοῦ ν̄ ἐν εἰλιπόδεϲϲι αἱ ἀριϲτάρχου Didymus. — 492 ἄμεινον γράφειν πάροϲ πολεμιϲτὰ ἀντὶ τοῦ πέπον Schol. V. — 494 κακὸϲ: τινὲϲ θραϲύϲ γράφουϲιν Schol. BL. — 497 πέρι μάρναο: περιμάρναο Aristarchus, ὑφ' ἕν.

coì γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδοc
ἔccομαι ἤματα πάντα διαμπερέc, εἴ κέ μ᾽ Ἀχαιοὶ
τεύχεα cυλήcωcι νεῶν ἐν ἀγῶνι πεcόντα.
ἀλλ᾽ ἔχεο κρατερῶc, ὄτρυνε δὲ λαὸν ἅπαντα.
ὣc ἄρα μιν εἰπόντα τέλοc θανάτοιο κάλυψεν
ὀφθαλμοὺc ῥῖνάc θ᾽. ὃ δὲ λὰξ ἐν cτήθεcι βαίνων
ἐκ χροὸc ἕλκε δόρυ, προτὶ δὲ φρένεc αὐτῷ ἕποντο·
τοῖο δ᾽ ἅμα ψυχήν τε καὶ ἔγχεοc ἐξέρυc᾽ αἰχμήν.
Μυρμιδόνεc δ᾽ αὐτοῦ cχέθον ἵππουc φυcιόωνταc,
ἱεμένουc φοβέεcθαι, ἐπεὶ λίπεν ἅρματ᾽ ἀνάκτων.
Γλαύκῳ δ᾽ αἰνὸν ἄχοc γένετο φθογγῆc ἀίοντι·
ὠρίνθη δέ οἱ ἦτορ, ὅ τ᾽ οὐ δύνατο προcαμῦναι.
χειρὶ δ᾽ ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν
ἕλκοc, ὃ δή μιν Τεῦκροc ἐπεccύμενον βάλεν ἰῷ
τείχεοc ὑψηλοῖο, ἀρὴν ἑτάροιcιν ἀμύνων.
εὐχόμενοc δ᾽ ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
κλῦθι ἄναξ, ὅc που Λυκίηc ἐν πίονι δήμῳ
εἰc ἢ ἐνὶ Τροίῃ· δύναcαι δὲ cὺ πάντοc᾽ ἀκούειν
ἀνέρι κηδομένῳ, ὡc νῦν ἐμὲ κῆδοc ἱκάνει.
ἕλκοc μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείηc ὀδύνῃcιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερcῆναι δύναται, βαρύθει δέ μοι ὦμοc ὑπ᾽ αὐτοῦ·

V. L. 498 ἐγὼ omitt. H — 499 ἤματα D. εἴ κε μ᾽ GL. εἰ κέ μ᾽ D. ἐν ἄλλῳ εἴ κεν ἀχαιοὶ A. — 501 ὤτρυνε G. — 502 ὡc A. — 503 ὀφθαλμούc τε Lips. Vrat. A. ῥῖνάc θ᾽ C. ῥίνάc τε D. ὃ δὲ C. ἐν omitt. L. cτήθεccϊ C. — 504 εἷλκε ACDEGHS. ἕλκε L. ποτὶ CDHS Lips. Vrat. A. — 505 αἰχμίν G. τε omitt. Schol. N 574. — 506 αὐτοὺc L. — 507 ϊεμένουc H. φοβέεcθ᾽ C. λίπεν ADH Lips. Mosc. 2. λίπον CEGL. — 509 δὲ ἡ ἦτορ G. ὅτ᾽ libri. — 510 χειρὶ λαβὼν δ᾽ Vrat. d. χειρὶ δ᾽ ἔχων Cram. Ep. 291, 6. πεῖρε γὰρ H. τεῖρέ τε Vrat. A. αὐτὸν: αἰνῶc Flor. — 511 ἐπεccύμενοc C 1. man. — 512 ὑψυλοῖο G. ἀνὴρ ἑτάροιcιν S. — 513 ἑκηβόλον ἀπόλλωνα Harl. — 515 εἶc AD: ceteri εἰc. ἐνι D. ἐν LS. πάντοc᾽: παντὸc Rhet. Gr. III, 159, 11 diserte. δέ τε πόντοc G. — 516 κηδομενῳ (ου) H. — 517 γὰρ omitt. HL. κρατερόν EG Lips. ἀμφι D. δέ μιν E. — 518 ὀξείαιc ὀδυναῖc E bis. — 519 βαρύθη L. βαρύθῃ Lips. ὦμοc ὕπερθε H Vrat. d. (ὕπερθεν).

A. c. 504 εἷλκε: ἕλκε Aristarchus. idem ἔχοντο pro ἕποντο. — 507 διὰ τοῦ ε̄ λίπεν, ἐπειδὴ τὰ ἅρματα τῶν ἀνάκτων ἐλείφθηcαν . . . Ζηνόδοτοc δὲ διὰ τοῦ ο̄ λίπον Didymus. — 508 ἀίοντι Aristarchus, προπαροξυτόνωc. — 515 πάντοc᾽ ἀκούειν Herodianus cum Aristarcho: παντὸc Zenodotus.

ἔγχος δ' οὐ δύναμαι ϲχεῖν ἔμπεδον, οὐδὲ μάχεϲθαι
ἐλθὼν δυϲμενέεϲϲιν. ἀνὴρ δ' ὤριϲτοϲ ὄλωλε,
Ϲαρπηδών, Διὸϲ υἱόϲ· ὃ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει.
ἀλλὰ ϲύ πέρ μοι ἄναξ τόδε καρτερὸν ἕλκοϲ ἄκεϲϲαι,
κοίμηϲον δ' ὀδύναϲ, δὸϲ δὲ κράτοϲ, ὄφρ' ἑτάροιϲι
κεκλόμενοϲ Λυκίοιϲιν ἐποτρύνω πολεμίζειν,
αὐτόϲ τ' ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.
ὣϲ ἔφατ' εὐχόμενοϲ, τοῦ δ' ἔκλυε Φοῖβοϲ Ἀπόλλων.
αὐτίκα παῦϲ' ὀδύναϲ, ἀπὸ δ' ἕλκεοϲ ἀργαλέοιο
αἷμα μέλαν τέρϲηνε, μένοϲ δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκοϲ δ' ἔγνω ᾗϲιν ἐνὶ φρεϲί, γήθηϲέν τε,
ὅττί οἱ ὦκ' ἤκουϲε μέγαϲ θεὸϲ εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτοραϲ ἄνδραϲ,
πάντῃ ἐποιχόμενοϲ, Ϲαρπηδόνοϲ ἀμφιμάχεϲθαι·
αὐτὰρ ἔπειτα μετὰ Τρῶαϲ κίε μακρὰ βιβάϲθων,
Πουλυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυϲτήν.
ἀγχοῦ δ' ἱϲτάμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Ἕκτορ, νῦν δὴ πάγχυ λελαϲμένοϲ εἲϲ ἐπικούρων,
οἳ ϲέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδοϲ αἴηϲ
θυμὸν ἀποφθινύθουϲι· ϲὺ δ' οὐκ ἐθέλειϲ ἐπαμύνειν.
κεῖται Ϲαρπηδών, Λυκίων ἀγὸϲ ἀϲπιϲτάων,
ὃϲ Λυκίην εἴρυτο δίκῃϲί τε καὶ ϲθένεϊ ᾧ·
τὸν δ' ὑπὸ Πατρόκλῳ δάμαϲ' ἔγχεϊ χάλκεοϲ Ἄρηϲ.

---

V. l. 521 ἀνὴρ ὃϲ ἄριϲτοϲ Harl. ὄλωλε A. — 522 ὃ δ' DHL. ὅδ' C. ᾧ παιδὶ ACDEGHLS et Heynii libri. οὗ παιδὸϲ Schol. Ϲ 171. vide N 464. P 563. — 523 ϲὺ πέρ μοι C. κρατερὸν E Lips. ἕλκοϲ: ἄλγοϲ C Harl. ἄκεϲαι C. — 524 κοίμηϲον ADEH: κοίμιϲον CGL 1. man. S Vrat. A. κοίμιϲϲον L 2. man. Harl. Townl. „κοίμιϲον ceteri codd. in his Lips. sicque editum erat ante Barnes.“ Heyne. ἑτάροιϲι ACDGH. — 526 νέκυϊ ACDG. νέκυν κατατεθνειῶτα Lips. νέκυν κατατεθνηῶτα L. κατα$^{ει}$τεθνηῶτι AH. κατατεθνηῶτι Vrat. A. κατατεθνειῶτι CDEGS. — 527 ὣϲ A. — 528 ἄπο D. — 529 τέρϲῃνε H. — 530 ἔγνῳ H. ἐνι AD. — 531 ὅττί οἱ A. ἄναξ θεὸϲ S. — 532 ὄτρυνεν A. ὄτρυνε D. ὤτρυνε CE HL Lips. λυκείων G. — 533 πάντῃ ADEGH: cet. πάντη. ἀμφὶ μάχεϲθαι Lips. — 534 τρῷαϲ L. βιβάϲκων L. — 535 ἐπὶ CDGL. ἐπι A. — 538 εἲϲ AD: vulgo εἶϲ. C εἲϲ cum gravi et circumflexo. — 539 ἑοὶ ϲέθεν G. — 540 ἐπαμῦναι D Cant. Harl. Vrat. A. ἐπαμύναι Lips. — 543 ὕπο A.

---

A. c. 522 ᾧ παιδί: οὗ παιδὸϲ Aristarchus, conf. Schol. Ϲ 171. — 523 ἄκεϲϲαι: ἀκέϲϲαι Aristarchus. — 526 οὕτωϲ διὰ τοῦ η αἱ ἀριϲτάρχου κατατεθνηῶτι Didymus. — 542 εἴρυτο Aristarchus: εἰρῦτο Tyrannio, vide Zon. Lex. 683.

ἀλλὰ φίλοι πάρcτητε, νεμεccήθητε δὲ θυμῷ,
μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίccωcι δὲ νεκρὸν
Μυρμιδόνες Δαναῶν κεχολωμένοι, ὅccοι ὄλοντο,
τοὺς ἐπὶ νηυςὶ θοῇcιν ἐπέφνομεν ἐγχείῃcιν.
ὣc ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος
ἄcχετον, οὐκ ἐπιεικτόν, ἐπεί cφιcιν ἕρμα πόληος
ἔcκε καὶ ἀλλοδαπόc περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ
λαοὶ ἕποντ', ἐν δ' αὐτὸc ἀριcτεύεcκε μάχεcθαι.
βὰν δ' ἰθὺc Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα cφιν
Ἕκτωρ χωόμενοc Cαρπηδόνοc. αὐτὰρ Ἀχαιοὺc
ὦρcε Μενοιτιάδεω Πατροκλῆοc λάcιον κῆρ·
Αἴαντε πρώτω προcέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, νῦν cφῶιν ἀμύνεcθαι φίλον ἔcτω,
οἷοί περ πάροc ἦτε μετ' ἀνδράcιν, ἢ καὶ ἀρείουc.
κεῖται ἀνήρ, ὃc πρῶτοc ἐcήλατο τεῖχοc Ἀχαιῶν,
Cαρπηδών. ἀλλ' εἴ μιν ἀεικιccαίμεθ' ἑλόντεc,
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμαcαίμεθα νηλέι χαλκῷ.
ὣc ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξαcθαι μενέαινον.
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγαc,
Τρῶεc καὶ Λύκιοι καὶ Μυρμιδόνεc καὶ Ἀχαιοί,
cύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεcθαι
δεινὸν ἀύcαντεc· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.

V. L. 544 δὲ omitt. H Vrat. A. — 545 ἀπο ACDHL. ἀεικίcωcι E
ει ι
Apoll. Soph. 10, 28. ἀικήccωcϊ H. — 547 οὓc E. — 548 τρῷαc L. κατα-κρῆθεν ADG Eust. 1257, 55. κατάκρῆθεν H. κατάκρηθεν Vrat. A. κατ' ἀκρῆθεν S. κατ' ἄκρηθεν C. κατάκρηθεν ἢ κατακρῆθεν E. — 549 ἐπεί cφιν CDL Lips. ἐπί cφιν Apoll. Soph. 147, 21. — 552 βᾶν C. - 554 μενοιτιάδεω ACDH Lips μενοιτιάδαο LS. μενοιτιάδαω G. — 555 αὐτῷ G. — 556 αἴαντεc L. φίλον ἔcτω: ἐν ἄλλῳ μένοc ἔcτω A. — 557 μετ' ἀνδρῶν L. — 558 ἐcῆλατο A. ἐcύλα Thomas Mag. sub v. cυλῶ. — 559 ἀεικιcόμεθα E. — 560 τεύχε' ἀπ' S. ἀφελώμεθα D Vrat. b. 1. man.
οἱ
d. ἀφελώμεθα H καί κέ τιν' G. — 562 ὡc A. οἳ δὲ C. — 563 οἳ δ' D. οἵδ' CGHL. — 565 νέκυϊ ACDG. κατατεθνηῶτι L Mor. Vrat. A. κατα-τεθνειῶτι ACDGHS. — 566 ἀΐcαντεc G.

A. c. 548 κατὰ κρῆθεν Aristarchus; alii κατ' ἄκρηθεν teste Schol. V, conf. κατ' ἄκρηc N 772. O 557. X 411. Ω 728. κατὰ κρῆθεν legitur λ 588. Hymn. V, 182. Hesiod. Theog. 574. ἀπὸ κρῆθεν Hesiod. Scut. Herc. 7. — 558 Aristarchus ἐcῆλατο: ἐ-cήλατο Lysanias, conf. Eust. 1075, 45. — 559 εἴ Aristarchus (λείπειν φαcὶν αἱ ἀριcτάρχου τὸ εὖ ἂν ἔχοι Schol. A): εὖ Rhianus.

Ζεὺc δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυcε κρατερῇ ὑcμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχηc ὀλοὸc πόνοc εἴη.
ὦcαν δὲ πρότεροι Τρῶεc ἑλίκωπαc Ἀχαιούc·
βλῆτο γὰρ οὔ τι κάκιcτοc ἀνὴρ μετὰ Μυρμιδόνεccιν,
υἱὸc Ἀγακλῆοc μεγαθύμου, δῖοc Ἐπειγεύc,
ὅc ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ ἤναccε
τὸ πρίν· ἀτὰρ τότε γ' ἐcθλὸν ἀνεψιὸν ἐξεναρίξαc
ἐc Πηλῆ' ἱκέτευcε καὶ ἐc Θέτιν ἀργυρόπεζαν·
οἱ δ' ἅμ' Ἀχιλλῆι ῥηξήνορι πέμπον ἕπεcθαι
Ἴλιον εἰc εὔπωλον, ἵνα Τρώεccι μάχοιτο.
τόν ῥα τόθ' ἁπτόμενον νέκυοc βάλε φαίδιμοc Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶcα κεάcθη
ἐν κόρυθι βριαρῇ· ὃ δ' ἄρα πρηνὴc ἐπὶ νεκρῷ
κάππεcεν, ἀμφὶ δέ μιν θάνατοc χύτο θυμοραϊcτήc.
Πατρόκλῳ δ' ἄρ' ἄχοc γένετο φθιμένου ἑτάροιο,
ἴθυcεν δὲ διὰ προμάχων ἴρηκι ἐοικὼc
ὠκέι, ὅc τ' ἐφόβηcε κολοιούc τε ψῆράc τε·
ὣc ἰθὺc Λυκίων Πατρόκλειc ἱπποκέλευθε
ἔccυο καὶ Τρώων, κεχόλωcο δὲ κῆρ ἑτάροιο·
καί ῥ' ἔβαλε Cθενέλαον, Ἰθαιμένεοc φίλον υἱόν,
αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένονταc.
χώρηcαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμοc Ἕκτωρ.
ὅccη δ' αἰγανέηc ῥιπὴ ταναοῖο τέτυκται,
ἥν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενοc ἢ ἐν ἀέθλῳ

V. L. 567 ἐπι D. κρατερὴν ὑcμίνην S. — 568 περὶ (α α) S. εἴῃ AH. — 569 πρότερον Barocc. Mor. τρῷεc L. — 570 μετα A. — 571 ἐπηγεὺc AHS Harl. Lips. Vrat. d. — 572 εὖ, ναιομένωι A. εὖ ναιομένῳ CDHLS. vulgo εὐναιομένῳ. ἤναccε ACDGH. — 573 τοπρὶν DEL. τότε γ': τό γ' L. — 574 πηλῆα D. εἰc Πηλῆ Schol. O 339. — 575 οἳ δ' D 1. man., nunc ὃ δ'. οἵδ' CGHL. ἀχϊλῆϊ CD. πέμπεν D. — 576 libri εὔπωλον. τρῴεccι L. — 578 ἥδ' CGL. ἤδ' H. — 579 ὃ δ' D. ὅδ' CGHL. ἐπὶ γαίῃ S. — 580 ἀμφι AD. χῦτο D. θάνατοc κεῖτο L. θυμοραϊcτήc C. — 581 ἆρ ADEGH. — 582 ἴθυcε D. — 582 ἴρηκι DHL Schol. P 755. ἶρηκι A. — 584 ὡc AG. — 585 τρῴων L. κεχόλωτο G Cant. Flor. — 586 ἔβαλεc Lips. ἰθαιμενέοc Mosc. 2. Vrat. A. Flor. — 587 ἀπο D. τένοντε G. τένονταc (τε) A, conf. Є 307. K 456. Ξ 466. P 721. Y 478. X 396. γ 449. H. U. 168. — 5·9 τέτυκτο G. — 590 ἀφέῃ: ἀφέηκε LS. ἀφῆκε Lips. προέῃ Vrat. A.

A. c. 574 Πηλῆ': alii Πηλῆ, conf. Schol. O 339, in quo comparantur Μηκιcτῆ et Τυδῆ Δ 384.

ἠὲ καὶ ἐν πολέμῳ, δηίων ὕπο θυμοραϊστέων,
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ
στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
δούπησεν δὲ πεσών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιούς,
ὡς ἔπεσ' ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστήν,
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ·
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
[αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.]

---

V. L. 591 ἣ E. ὑπὸ CDGL. ὕπο H. — 592 ἐχώσαντο S. τρῷες L. — 594 ἔκτεινε GL Lips. δὲ omitt. L. — 596 ὄλβωι τὲ A. μυρμιδόνεσσι ACDEGH. — 598 ἐξ ἀπίνης G. — 599 πυκινὸν: γρ. δεινὸν Lips. ἔλαβ' DH Townl. Lips. Vrat. d. — 600 τρῷες L. — 601 ἄρ ADGHL. — 603 τρώων L. — 604 ἱερεὺς Lips. Rom. — 605 ὡς A. — 606 τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος Schol. Δ 461. — 607 ἀπὸ: ἀπαὶ L. — 608 μηριόνην S. — 609 τεύξασθαι GS Vrat. b. ὑπ' ἀσπίδια ADH. προβιβῶντος ACDEGHLS, conf. N 158. 807. — 610 ὃ μὲν C. — 611 ἐξόπισθεν DG Lips. — 612 ἐνὶ σκίμφη G. ἐνὶ σκήφθη Vrat. A. ἐνισκήφθη Schol. Δ 457. ἔπι CD. δουρίαχος L. — 613 ἀφίῃ Mor. Barocc. ὄμβριμος C. — 614, 615 omittunt ACD in textu EH in textu LS Lips. Harl. Townl. Vrat. d. A. habent D et H in marg. man. rec. G, conf. N 504.

---

A. c. 607 ἔν τισιν ἐφέρετο „Μηριόνης δ' ἀνέπαλτο φίλον δέ οἱ ἦτορ ἰάνθη Schol. V. — 613 ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου οὐκ ἐφέρετο καθάπαξ· ἐν δὲ τῇ δευτέρᾳ ὄβελος (cod. ἄλογος) αὐτῷ παρέκειτο Schol. V. vide Osann. Anecd. Rom. pg. 246.

Αἰνείαϲ δ' ἄρα θυμὸν ἐχώϲατο φώνηϲέν τε·
Μηριόνη, τάχα κέν ϲε καὶ ὀρχηϲτήν περ ἐόντα
ἔγχοϲ ἐμὸν κατέπαυϲε διαμπερέϲ, εἴ ϲ' ἔβαλόν περ.
τὸν δ' αὖ Μηριόνηϲ δουρὶ κλυτὸϲ ἀντίον ηὔδα·
Αἰνεία, χαλεπόν ϲε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων ϲβέϲϲαι μένοϲ, ὅϲ κέ ϲευ ἄντα
ἔλθῃ ἀμυνόμενοϲ· θνητὸϲ δέ νυ καὶ ϲὺ τέτυξαι.
εἰ καὶ ἐγώ ϲε βάλοιμι τυχὼν μέϲον ὀξέι χαλκῷ,
αἶψά κε καὶ κρατερόϲ περ ἐὼν καὶ χερϲὶ πεποιθὼϲ
εὖχοϲ ἐμοὶ δοίηϲ, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
ὣϲ φάτο, τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμοϲ υἱόϲ·
Μηριόνη, τί ϲὺ ταῦτα καὶ ἐϲθλὸϲ ἐὼν ἀγορεύειϲ;
ὦ πέπον, οὔ τοι Τρῶεϲ ὀνειδείοιϲ ἐπέεϲϲι
νεκροῦ χωρήϲουϲι· πάροϲ τινὰ γαῖα καθέξει.
ἐν γὰρ χερϲὶ τέλοϲ πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ·
τῶ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεϲθαι.
ὣϲ εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕϲπετο ἰϲόθεοϲ φώϲ.
τῶν δ' ὥϲ τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸϲ ὀρώρῃ
οὔρεοϲ ἐν βήϲϲηϲ· ἕκαθεν δέ τε γίγνετ' ἀκουή·
ὣϲ τῶν ὤρνυτο δοῦποϲ ἀπὸ χθονὸϲ εὐρυοδείηϲ

---

V. l. 617 τάχα μέν ϲε Mor. Barocc. — 618 ϲε βάλον περ D Vrat. A. ϲ' ἔβαλόν γε L. — 618—620 omitt. S. Vrat. d. — 619 δουρὶ κλυτὸϲ A Vrat. b. d.: ceteri δουρικλυτὸϲ. ηὗδα D. — 620 omitt. H in textu, habet in marg. man. rec. — 621 ϲβέϲαι CDE Vrat. A. ὅϲ κέ ϲευ ACD EGHL: vulgo ὅϲ κε ϲεῦ male. — 622 τέτευξαι Lips. — 623 τυχὸν D. — 624 αἶψά τε S Flor. καὶ post κε omitt. C. — 625 δοίηιϲ A. δῴηϲ G Flor. δώϲειϲ Lips. ἐν ἄλλῳ δώιηϲ A. κλυτοπώλωι C. — 626 ὡϲ A. ἐνένιϲπε HS Townl. Vrat. b. d. ἐνένειπτε G. — 628 οὔτοι ACHL Cant. Harl. Townl. Vrat. b. d. Mosc. 2. οὔτι DEG. τρῷεϲ L. ὀνειδίοιϲ EL. ἐπέεϲϲι ACDE. — 629 καθείξει G. — 631 τῶ ADHL: τῷ CEG. οὔτοι L. — 632 ὡϲ A. ὃ μὲν C. ἦρχεν L. ὃ δ' DL. ὅδ' CH. ἕπετο H. ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου L. — 633 ὀρυγμαδὸϲ CGH. * ὀρώρῃ: ὀρώρει ACHLS Vrat. A. ὄρωρεν DE bis G. ἔν τιϲιν ὄρωρεν A. — 634 βήϲϲηϲ' L. βήϲϲῃ E. γίγνετ' L: γίνετ' ACDEGH. — 635 ὡϲ A. ὄρνυτο DS. ἄπο H. εὐρυόδείηϲ A. εὐρυοδείηϲ C.

---

A. c. 633 οὕτωϲ ὀρώρει ἀρίϲταρχοϲ Didymus, cui, vel potius librario, fidem non habeo, nam plusquamperfectum in comparationibus locum non habet, quod Aristarchum fugere non potuit. ὀρώρῃ primus correxit Bekkerus, conf. adnot. ad Δ 483. — 634 ἀκουή: ἀριϲτοφάνηϲ ἀϋτμή (sic) Didymus.

χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' ἐυποιητάων,
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν
ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺς
τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ,
πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
χαλκῷ δῃώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ὄφρ' ἠὺς θεράπων Πηληιάδεω Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·

V. l. 636 βοῶν τ': βοῶν E 1079, 14. 679, 21. εὐποιητάων AC. εὖ ποιητάων DHL. Vrat. b. d. εὖ ποιητάων ἢ εὐποιητάων E 1079, 14 et 24. εὐποιητάων G Apoll. Soph. 52, 3. Et. Mg. 204, 2. Eust. 98, 38. 679, 21. — 639 βελέεσσϊν H. κονίῃισι D. — 640 εἴλυτο: εἴρυτο D. — 641 οἳ δ' D. οἴδ' CGHL. περι A. — 642 ἐνιβρομέωσι ACDHL Athen. XI, 495. ἐνιβρεμέωσι Cram. Ep. 50, 17. ἐνὶ βρομέωσι E. ἐπὶ βρομέωσι G. βρομέουσι Harl. Lips. Vrat. A. περὶ γλαγέας CH. ἐϋγλαγέας Athen. XI, 495. πολυγλαγγέας Apoll. Soph. 55, 1. κατα ACDH — 643 ἐνειαρίνηι D. — 644 ὡς A. — 646 ἐφράζετο S. — 647 πατροκλῆος Lips. μερμερίζων G Flor. — 648 καὶ κεῖνον ACEH Lips. Vrat. d. A. Mosc. 2. κακεῖνον DG. κἀκεῖνον LS. ἐνι AD. — 649 ἐπαντιθέωι A. — 650 δηϊώσῃ G. δηϊώσῃ L. δηιώσει C (an δῃώσει' et ἕλοιτο?). — 651 ἢ libri. ὀφέλειεν Lips. Vrat. A. Rom. ὀφέλλει δὴ πόνον G Flor. — 654 ἐξαῦθϊς C. τρῷας L. — 655 προτιάστυ D. πρὸ τὶ C. πρωτὶ G. — 656 θυμὸν ἐνῆκεν ACDGHL Harl. Vrat. b. Mosc. 2. Flor. θυμὸν ἐνῶρσεν Townl. Lips. suprascr. Rom. φύζαν ἐνῆκεν Lips. Vrat. b. φύζαν ἐνῶρσεν S Cant. Mor. Barocc. Vrat. A. φύζαν ἐνῆκεν ἢ κατά τινας θυμὸν ἐνῶρσεν Eust.

A. c. 636 ἄμεινον εἶχε φησὶν ὁ ἀρίσταρχος εἰ ἐγέγραπτο βοῶν εὐποιητάων ἔξω τοῦ τε συνδέσμου Didymus. — 638 Σαρπηδόνα δῖον: ἀρίσταρχος κατὰ δοτικὴν σαρπηδόνι δίῳ Didymus. — 640 εἴλυτο, conf. H. T. 240. — 648 ἐκ πλήρους καὶ κεῖνον αἱ ἀριστάρχου Didymus.

ἐϲ δίφρον δ᾽ ἀναβὰϲ φύγαδ᾽ ἔτραπε, κέκλετο δ᾽ ἄλλουϲ
Τρῶαϲ φευγέμεναι· γνῶ γὰρ Διὸϲ ἱρὰ τάλαντα.
ἔνθ᾽ οὐδ᾽ ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν
πάντεϲ, ἐπεὶ βαϲιλῆα ἴδον, βεβλαμμένον ἦτορ,
κείμενον ἐν νεκύων ἀγύρει· πολέεϲ γὰρ ἐπ᾽ αὐτῷ
κάππεϲον, εὖτ᾽ ἔριδα κρατερὴν ἐτάνυϲϲε Κρονίων.
οἳ δ᾽ ἄρ᾽ ἀπ᾽ ὤμοιιν Ϲαρπηδόνοϲ ἔντε᾽ ἕλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλαϲ ἐπὶ νῆαϲ
δῶκε φέρειν ἑτάροιϲι Μενοιτίου ἄλκιμοϲ υἱόϲ.
καὶ τότ᾽ Ἀπόλλωνα προϲέφη νεφεληγερέτα Ζεύϲ·
εἰ δ᾽ ἄγε νῦν φίλε Φοῖβε κελαινεφὲϲ αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Ϲαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἀπὸ πρὸ φέρων λοῦϲον ποταμοῖο ῥοῇϲι
χρῖϲόν τ᾽ ἀμβροϲίῃ, περὶ δ᾽ ἄμβροτα εἵματα ἕϲϲον·
πέμπε δέ μιν πομποῖϲιν ἅμα κραιπνοῖϲι φέρεϲθαι,
ὕπνῳ καὶ θανάτῳ διδυμάοϲιν, οἵ ῥά μιν ὦκα
θήϲουϲ᾽ ἐν Λυκίηϲ εὐρείηϲ πίονι δήμῳ,
ἔνθά ἑ ταρχύϲουϲι καϲίγνητοί τε ἔται τε
τύμβῳ τε ϲτήλῃ τε· τὸ γὰρ γέραϲ ἐϲτὶ θανόντων.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἄρα πατρὸϲ ἀνηκούϲτηϲεν Ἀπόλλων.
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἐϲ φύλοπιν αἰνήν,

V. L. 657 ἔτραπε: ἔτρεπε L Lips. Vrat. d. — 658 τρῷαϲ L. — 659 ἀλλὰ φόβηθεν DL: ceteri ἀλλ᾽ ἐφόβηθεν. — 660 βεβλαμμένον AC. βεβλαμένον S Flor. Rom.: βεβλημμένον DG. βεβλημένον Cant. Barocc. Mor. Lips. βεβολημένον H Vrat. d. A. δεδαϊγμένον L Mosc. 2. δεδαϊγμένον ἢ βεβλημένον E. γρ. δεδαϊγμένον ἦτορ A. — 661 ἐπαυτῶι A. ἅμ᾽ αὐτῷ Mor. Vrat. d. A. — 662 ἐτάνυϲε Lips. Townl. Vrat. d. — 663 οἳ δ᾽ D. οἵδ᾽ CHL. ἂρ ADE. — 664 χάλκαια A. — 666 ἀπόλλωνι D. νεφεληγερέτα A. — 667 εἴδ᾽ CDGL. κελενεφὲϲ D Flor. κάθηρον CH. — 668 ἐκ μελέων Harl. Vrat. A. ϲαρπηδόνι L. — 669 ἀπὸ προφέρων A. ἄπο προφέρων GHLS. ἀποπροφέρων CD Syr. ἄπο προφέρων ἢ ἀπόπρο φέρων Eust. ῥοῇϲι ACDEGL Syr. — 670 χρίϲον τ᾽ DG. ΧΡΕΙϹΟΝΤ᾽ Syr. χρῖϲον δ᾽ S Townl. Cant. Lips. χρῖϲόν τ᾽ (δ᾽) A. ἀμβροϲίην H Vrat. d. περῖ CD. περῖ τ᾽ H. εἵματ᾽ ἕϲϲον D. — 672 διδυμάοϲι τοί L. οἳ ῥὰ μιν G. — 673 θήϲουϲιν λυκίηϲ DGL Vrat. b. Flor. γρ. θήϲουϲιν λυκίηϲ A. — 674 ἔνθά ACDGH. ἑ: οι H. ταρχύϲωϲι Vrat. b. Schol. O 545. ταρχήϲωϲι Vrat. A. ταρχήϲουϲι Lips. — 675 τὲ A. — 676 ὡϲ A. — 677 φύλωπιν G.

A. c. 666 Ζηνόδοτοϲ διεϲκεύακε γράφων „καὶ τότ᾽ ἄρ᾽ ἐξ Ἴδηϲ προϲέφη Ζεὺϲ ὃν φίλον υἱόν“ Aristonicus. — 667 Ζηνόδοτοϲ ἠθέτει Schol. V. — 668 ἀρίϲταρχοϲ ϲαρπηδόνι κατὰ δοτικήν Didymus. — 669 ἀπὸ πρὸ Philoxenus: ἄπο πρὸ Ptolemaeus Ascalonita. — 677 Ζηνόδοτοϲ περιῄρηκε Aristonicus.

αὐτίκα δ' ἐκ βελέων Ϲαρπηδόνα δῖον ἀείραϲ,
πολλὸν ἀπὸ πρὸ φέρων, λοῦϲεν ποταμοῖο ῥοῇϲι
χρῖϲέν τ' ἀμβροϲίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕϲϲε·
πέμπε δέ μιν πομποῖϲιν ἅμα κραιπνοῖϲι φέρεϲθαι,
ὕπνῳ καὶ θανάτῳ διδυμάοϲιν, οἵ ῥά μιν ὦκα
κάτθεϲαν ἐν Λυκίηϲ εὐρείηϲ πίονι δήμῳ.
Πάτροκλοϲ δ' ἵπποιϲι καὶ Αὐτομέδοντι κελεύϲαϲ
Τρῶαϲ καὶ Λυκίουϲ μετεκίαθε, καὶ μέγ' ἀάϲθη,
νήπιοϲ· εἰ δὲ ἔποϲ Πηληϊάδαο φύλαξεν,
ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανοϲ θανάτοιο.
ἀλλ' αἰεί τε Διὸϲ κρείϲϲων νόοϲ ἠέ περ ἀνδρῶν·
[ὅϲ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηιδίωϲ, ὅτε δ' αὐτὸϲ ἐποτρύνῃϲι μάχεϲθαι·]
ὅϲ οἱ καὶ τότε θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἀνῆκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕϲτατον ἐξενάριξαϲ
Πατρόκλειϲ, ὅτε δή ϲε θεοὶ θάνατον δὲ κάλεϲϲαν;
Ἄδρηϲτον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίϲτορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλαϲον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
τοὺϲ ἕλεν· οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαϲτοϲ.

---

V. L. 679 ἀπὸ προφέρων AH. ἄπο προφέρων GS. ἀποπροφέρων CD Syr. ἀποπρὸ, φέρων L. ῥοῆϲι ACGH Syr. — 680 χρίϲέν τ' D. χρίϲεν τ' G. ΧΡΕΙϹΕΝΤ Syr. χρῖϲέν $\overset{\delta}{\tau}$' A. χρῖϲεν δ' HS Cant. Townl. Vrat. d. χρίϲεν δ' Lips. Flor. περῒ CD. περῒ τ' H. εἵματ' ἕϲϲε D. ἕϲϲε ACL Syr. — 681 κρεπνοῖϲι D. — 682 omitt. Lips. διδυμάοϲι τοί HL Vrat. d. — 685 τρῷαϲ L. μετεκείαθε H. — 686 πηληϊάδεω DHS. πηληϊάδεω ἐφύλαξεν Harl. φύλαξε D. — 687 ὑπ' ἔκφυγε D. — 688 ΑΙΕΙΓΕ Syr. αἰεί γε Barocc. Mor. Townl. ἤ ἔπερ A. ἀνδρόϲ AH Syr. Lips. Harl. Townl. Vrat. b. d. A. ἀνδρὸϲ ἢ ἀνδρῶν E. γρ. ἀνδρῶν A. — 689, 690 omitt. AD Syr. ἰϲτέον δὲ ὅτι ἔν τιϲι τῶν ἀντιγράφων μετὰ τὸ „κρείϲϲων νόοϲ ἠέπερ ἀνδρῶν" οὐ κεῖνται οἱ ἀναγεγραμμένοι ἐφεξῆϲ δύο γνωμικοὶ ϲτίχοι Eust. 1081, 36. — 689 ὀφείλετο G. — 690 omitt. H in textu, habet in marg. man. rec. ἐποτρύνει C. ἐποτρύνηϲε H. — 691 ὃϲ οἳ G. ὅϲ τε καὶ D. ἐνι A. ἐπῖ C. ἐνῆκεν DGS Harl. Vrat. A. Mosc. 2. ΕΝΗΚΕ Syr. — 693 θάνατον δὲ D. θάνατόνδ' ἐκάλεϲϲαν CEHLS Barocc. Vrat. d. Mosc. 2. θάνατον δ' ἐκάλεϲϲαν A. ΔΕΚΑΛΕϹϹΑΝ Syr. — 694 ἀντίνοον Lips. ἔχεκλον: ὀπίτην Lips. Townl. γρ. καὶ ἔχεκλον Lips. conf. Λ 301. — 695 πέρινον Vrat. d. — 696 βούλιον S. — 697 φύγαδε μνώοντο ACDH Syr. Lips. Vrat. d. Mosc. 2. φύγαδ' ἐμνώοντο GLS.

---

A. c. 688 κρείϲϲων: ὅτι τινὲϲ χωρὶϲ τοῦ ν̄ γράφουϲι κρείϲϲω Aristonicus in his Zenodotum fuisse existimo, conf. H. T. 302. — 690 ὅτε: τότε Aristophanes P 178 teste Didymo et Schol. Townl. apud Cram. An. Par. III, 287, 3. — 697 ἕλεν: ἕλεϲ Zenodotus.

ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Πατρόκλου ὑπὸ χερςί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν,
εἰ μὴ Ἀπόλλων Φοῖβος ἐυδμήτου ἐπὶ πύργου
ἔςτη τῷ ὀλοὰ φρονέων, Τρώεςςι δ' ἀρήγων.
τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεςτυφέλιξεν Ἀπόλλων
χείρεςς' ἀθανάτῃςι φαεινὴν ἀςπίδα νύςςων.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέςςυτο δαίμονι ἶςος,
δεινὰ δ' ὁμοκλήςας προςέφη ἑκάεργος Ἀπόλλων·
χάζεο διογενὲς Πατρόκλεις· οὔ νύ τοι αἶςα
ςῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
οὐδ' ὑπ' Ἀχιλλῆος, ὅς περ ςέο πολλὸν ἀμείνων.
ὣς φάτο, Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίςςω
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ' ἐν Ϲκαιῇςι πύλῃς ἔχε μώνυχας ἵππους·
δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάςςας,
ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήςειεν ἀλῆναι.
ταῦτ' ἄρα οἱ φρονέοντι παρίςτατο Φοῖβος Ἀπόλλων,
ἀνέρι εἰςάμενος αἰζηῷ τε κρατερῷ τε,
Ἀςίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
αὐτοκαςίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίῃ ναίεςκε ῥοῇς ἔπι Ϲαγγαρίοιο·

---

V. ι. 698 ἔνθά ACDGHL. ЄΝΘΆΚЄΝ Syr. κε H. — 699 περὶ πρὸ ΔE bis G Schol. Π 669. περιπρο L post ras. Syr. vulgo περιπρὸ. ἔγχεςι L. θῦιεν AH. — 702 τρεὶς D 1. man. ἐπ' ἢ ὑπ' E. — 703 ἀπεςτίφέλιξεν L. — 704 χείρεςς' ΛCDEHL Barocc. Harl. Townl. Vrat. b. d. A. Mosc. 2. χείρεςιν G. χείρεςςιν Flor. Rom. χείρεςι τ' S. — 706 δεινὸν ὁμοκλήςας L. προςέφη ἑκάεργος ἀπόλλων DGLS Syr. et plerique codd. Heynii. γρ. προςέφη ἑκάεργος ἀπόλλων A. ἔπεα πτερόεντα προςηύδα ACH Cant. Vrat. d. — 707 οὐ νύ τοι CDHS. οὐ νύ τί πω L. — 708 ὕπο AH. πέρθε S. πέρςαι Harl. τρώων L. — 709 οὐχ ὑπ' H Vrat. d. ἀχῖλῆος CD. ὅ περ Lips. Vrat. A. Rom. — 710 ὡς A. ἀναχάζετο G. τυτθὸν ὀπίςςω H. ὀπίςω D. — 711 ἀλευάμενος A. ἀλευόμενος GH Mor. Barocc. — 713 κατα A. αὖθις C Cant. Barocc. Rom. — 714 ἀλῆναι CDEG. αλῆναι A. — 715 ἄρ οἱ S. παρέςτη L. — 718 αὐτοκαςίγνητος A. — 719 φρυγίῃ ΔCDEHL Cant. Townl. Vrat. A. Mosc. 2. φρυγίην G Syr. Strabo XIII, 590. ῥοαῖς E. ῥοῇς G. ἐπὶ CDEGL. ἔπι AH.

---

A. c. 707 ἀρίςταρχος οὐ νύ πω αἶςα Didymus. — 710 πολλὸν: τυτθὸν Zenodotus, conf. Schol. Є 444. — 716 οὕτως εἰςάμενος· ἐπιφέρει γοῦν τῷ μιν ἐειςάμενος Didymus.

τῷ μιν ἐειϲάμενοϲ προϲέφη Διὸϲ υἱὸϲ Ἀπόλλων·
"Ἕκτορ, τίπτε μάχηϲ ἀποπαύεαι; οὐδέ τί ϲε χρή.
αἴθ' ὅϲον ἥϲϲων εἰμί, τόϲον ϲέο φέρτεροϲ εἴην,
τῶ κε τάχα ϲτυγερῶϲ πολέμου ἀπερωήϲειαϲ.
ἀλλ' ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχαϲ ἵππουϲ,
αἴ κέν πώϲ μιν ἕλῃϲ, δώῃ δέ τοι εὖχοϲ Ἀπόλλων.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν,
Κεβριόνῃ δ' ἐκέλευϲε δαΐφρονι φαίδιμοϲ Ἕκτωρ
ἵππουϲ ἐϲ πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
δύϲεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοιϲιν
ἧκε κακόν, Τρωϲὶν δὲ καὶ Ἕκτορι κῦδοϲ ὄπαζεν.
Ἕκτωρ δ' ἄλλουϲ μὲν Δαναοὺϲ ἔα οὐδ' ἐνάριζεν·
αὐτὰρ ὃ Πατρόκλῳ ἔφεπε κρατερώνυχαϲ ἵππουϲ.
Πάτροκλοϲ δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε
ϲκαιῇ ἔγχοϲ ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν.
ἧκε δ' ἐρειϲάμενοϲ, οὐδὲ δὴν χάζετο φωτόϲ,
οὐδ' ἁλίωϲε βέλοϲ, βάλε δ' Ἕκτοροϲ ἡνιοχῆα,
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆοϲ Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέι λᾶι.
ἀμφοτέραϲ δ' ὀφρῦϲ ϲύνελεν λίθοϲ, οὐδέ οἱ ἔϲχεν
ὀϲτέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέϲον ἐν κονίῃϲιν
αὐτοῦ πρόϲθε ποδῶν· ὃ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼϲ
κάππεϲ' ἀπ' εὐεργέοϲ δίφρου, λίπε δ' ὀϲτέα θυμόϲ.

V. L. 720 προϲεφώνεε φοῖβοϲ ἀπόλλων G: προϲέφη διὸϲ υἱὸϲ ἀπόλλων ACDHLS Syr. Cant. Barocc. Mor. Lips. Vrat. b. d. A. Mosc. 2. — 721 ἝΚΤΩΡ Syr. οὐδέ τι ϲε ACDGHL. — 722 ὅϲϲον C. — 723 τῶ ACDHL. ΤΩ Syr. τῷ G. ἀπεροήϲειαϲ G. — 724 ἔφεπε: ἔπεχε L, conf. 732. — 725 κεν D. πωϲ ACDGHL. ἕλοιϲ C Barocc. Vrat. d. δώῃ AG Syr. δώιη D. δῴη H. δώη CL. — 726 ὡϲ A. ὃ μὲν αὖθϊϲ C. ἀμπόνον ADGHL. ἂν πόνον CE. ἀνπόνον Lips. Cant. Vrat. A. εἰϲ πόνον Flor. Rom. — 727 δὲ κέλευϲε Vrat. b. ἝΚΤΩΡ' Syr. — 728 ἐπ πόλεμον Vrat. d. — 730 τρωϲὶ C Lips. τρῳϲὶ L. — 731 omitt. S. ἐνάριξε Cant. Harl. Lips. Mosc. 2. — 732 ὃ ACDGHL. ἔπεχε GL. ἐν ἄλλῳ ἔπεχε A. ἔφεπε ACDEHS Cant. Barocc. Mor. Harl. Lips. Vrat. b. c. Mosc. 2. Rom. — 733 ἃλτο C. χαμάζε CL Vrat. A. χαμαζε H. — 734 ἑτέρηφι CH. — 735 ὀκριόεντα (ὀκρυόεντα Harl. Vrat. d. A.) τόν libri: recentiores ὀκριόενθ' ὃν ex coni. Bentlei. περι CDH. χεῖρ' L. ἐκάλυψε G Flor. Rom. — 736 χάζετο EH. ἅζετο AD. ἅζετο CGLS Cant. Harl. Mor. Mosc. 2. Vrat. d. Townl. Flor. Schol. A et V. — 738 ἀγακλεῖοϲ Hesych. I, 12. ἀγακλῆοϲ μεγάθυμον C. (linea transversa in codice nomina propria notantur). — 740 ϲύνελε Lips. Vrat. A. — 742 ὃ δ' D. ὅδ' CGHL. ὁ δ' omisso ἄρ' Et. Mg. 146, 51. ἂρ ACDEHL. ὅδ' ἄρ' νευτῆρι Vrat. A. — 743 ἀπευεργέοϲ H.

τὸν δ' ἐπικερτομέων προςέφης Πατρόκλεις ἱππεῦ·
ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρῴσκων, εἰ καὶ δυςπέμφελος εἴη,
ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.
ὣς εἰπὼν ἐπὶ Κεβριόνῃ ἥρωι βεβήκει,
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
ὣς ἐπὶ Κεβριόνῃ Πατρόκλεις ἆλσο μεμαώς.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε.
τὼ περὶ Κεβριόναο λέονθ' ὣς δηρινθήτην,
ὥ τ' ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο,
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀυτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑςμίνην.
ὡς δ' εὖρός τε νότος τ' ἐριδαίνετον ἀλλήλοιιν

V. L. 744 ἐπὶ κερτομέων G. προςέφη Lips. Vrat. A. πατροκλῆς ἱππεύς Vrat. A. ἱππεῦ[ων] H. — 745 ὦ πόποι ADH. ὡς ACDEHL Harl. Mor. Vrat. b. Mosc. 2. Flor. Apoll. de Adv. 604, 12. ὣς Cant. Lips. ὃς S Jo. Alex. 42, 14. Athenaeus I, 13. Rhet. Gr. III, 93, 1. III, 206, 8. Lips. suprascr. ὁς G. — 747 κορέςῃ S. ὅδε omitt. H. — 748 ἀποθρώισκων solus A: ceteri ἀποθρώςκων. — 749 ὃς νῦν Mor. — 750 ῥὰ CDGL. κυβιςτῆρες L Rom., conf. C 605. δ 18. — 751 ὡς A. κεβρϊόνϊ C. ἥρῳ H. — 752 οἶμα C. — 753 ἑῇ L. — 754 ὡς A. ἐπι D. ἄλςο C. ἆλτο Barocc. — 755 αὖ Lips. Vrat. A. ἄλτο C. χαμάζε CL. — 756 ὡς AG. δηρινθήτην: δηρινθῆναι κατά τινας, μάλιςτα δὲ δηριθῆναι (h. e. δηριθήτην) δίχα τοῦ ν̄ Eust. 1085, 13. — 757 περι ADHL. — 758 ἄμφω πειτάοιτε (sic) G. — 759 ὡς A. — 761 ἵεντ' CD. — 762 κεφαλῆφιν CDE Ambr. (sine accentu). οὐχὶ: οὔτι LS Lips. μεθείῃ CS. μεθείει H. — 763 ἔχε CD. — 764 τρῷες L. ςυνάγον G. — 765 νότος τε C. ἀλλήλοιςιν S Mosc. 2. Schol. V ad Ξ 394.

A. c. 748 δυςπέμφελος εἴη: δυςπέμφελοι εἶεν Zenodotus. — 762 οὐχὶ μεθίει: Zenodotus οὐκ ἐμεθίει teste Didymo ad O 716. Aristarchus οὐχὶ poëtae abiudicavit, quid autem his duobus locis scripserit, οὐκὶ an οὔ τι, non liquet, conf. H. T. 328.

οὔρεος ἐν βήϲϲῃϲ βαθέην πελεμιζέμεν ὕλην,
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸϲ ἀλλήλαϲ ἔβαλον τανυήκεαϲ ὄζουϲ
ἠχῇ θεϲπεϲίῃ, πάταγοϲ δέ τε ἀγνυμενάων·
ὣϲ Τρῶεϲ καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοιϲι θορόντεϲ
δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρα πεπήγει
ἰοί τε πτερόεντεϲ ἀπὸ νευρῆφι θορόντεϲ,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀϲπίδαϲ ἐϲτυφέλιξαν
μαρναμένων ἀμφ' αὐτόν· ὃ δ' ἐν ϲτροφάλιγγι κονίηϲ
κεῖτο μέγαϲ μεγαλωϲτί, λελαϲμένοϲ ἱπποϲυνάων.
ὄφρα μὲν ἠέλιοϲ μέϲον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόϲ·
ἦμοϲ δ' ἠέλιοϲ μετενίϲϲετο βουλυτὸν δέ,
καὶ τότε δή ῥ' ὑπὲρ αἶϲαν Ἀχαιοὶ φέρτεροι ἦϲαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυϲϲαν
Τρώων ἐξ ἐνοπῆϲ, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο.
Πάτροκλοϲ δὲ Τρωϲὶ κακὰ φρονέων ἐνόρουϲεν.
τρὶϲ μὲν ἔπειτ' ἐπόρουϲε θοῷ ἀτάλαντοϲ Ἄρηι,
ϲμερδαλέα ἰάχων, τρὶϲ δ' ἐννέα φῶταϲ ἔπεφνεν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέϲϲυτο δαίμονι ἶϲοϲ,
ἔνθ' ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή.

---

V. l. 766 πολεμιζέμεν DL Vrat. b. — 768 τανυήκεαϲ A. ΤΑΝΑΗΚΕΑϹ Ambros. τανήκεαϲ G. τανυκέαϲ S. — 770 ὦϲ A. τρῷεϲ L. — 771 δηῖουν G Flor. οὐδέτεροι L. — 772 ἀμφοξέα D. δοῦρα πεπήγει DGL. ΔΟΥΡΑΠΕΠΗΓΕΙ Ambr. δοῦρα πεπήγει (ἐ) A. δοῦρ' ἐπεπήγει CEHS Harl. Vrat. b. d. A. — 773 ἄπο G. νευρῆφι E bis G. — 774 ἐϲτυφέλιξαν ACHL Vrat. b. d. ἐϲτυφέλιξε DEG. ἐϲτυφέλιξεν S. — 775 ὅδ' ἐν GL. ὃ δὲ C. ὁ δὲ ADEHS Ven. B. Harl. Lips. Mor. Vrat. b. d. Mosc. 2. conf. ω 39. — 778 τόφρα μὲν AE Rom. πῖπτε EH Bekk. Anecd. 761, 3. πίπτε ACDGL. — 779 μετενίϲϲετο AEHL Barocc. Lips. Cant. Vrat. b. d. A. μετενείϲετο DG Harl. μετενῖϲετο C Townl. βουλυτὸν δὲ A. βουλυτὸ̆ν δὲ (sic) D. βουλητονδε G. — 780 ῥ' omitt. S. — 782 τρῴων L. τρώων τ' Vrat. b. A. — 783 δ' ἐν τρωϲὶ Vrat. d. κακὰ τρωϲὶν S. κακὰ τρωϲὶ Vrat. A. τρῳϲὶ L. ἐνόρουϲε ACDGH. ΕΝΟΡΟΥϹΕ Ambros. ἐπόρουϲεν L. — 784 ἐνόρουϲε Townl. Mosc. 2. — 786 τὸ omitt. H. — 787 ἄρά τοι L. πάτροκλε, φάνη C. Πάτροκλ' ἐφάνη Eust. 1086, 47; sed 1081, 50 Πάτροκλε φάνη.

---

A. c. 774 ἀρίϲταρχοϲ διὰ τοῦ ᾱ ἐϲτυφέλιξαν Didymus. — 775 ἀρίϲταρχοϲ ὁ δ' ἐν ϲτροφάλιγγι ϲὺν τῷ ν̄ Didymus. — 776 asteriscus; κακῶϲ ω 40.

ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑϲμίνῃ
δεινόϲ· ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόηϲεν·
ἠέρι γὰρ πολλῇ κεκαλυμμένοϲ ἀντεβόληϲε·
ϲτῆ δ' ὄπιθε, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω
χειρὶ καταπρηνεῖ, ϲτρεφεδίνηθεν δέ οἱ ὄϲϲε.
τοῦ δ' ἀπὸ μὲν κρατὸϲ κυνέην βάλε Φοῖβοϲ Ἀπόλλων·
ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποϲϲὶν ὑφ' ἵππων
αὐλῶπιϲ τρυφάλεια, μιάνθηϲαν δὲ ἔθειραι
αἵματι καὶ κονίῃϲι· πάροϲ γε μὲν οὐ θέμιϲ ἦεν
ἱππόκομον πήληκα μιαίνεϲθαι κονίῃϲιν,
ἀλλ' ἀνδρὸϲ θείοιο κάρη χαρίεν τε μέτωπον
ῥύετ', Ἀχιλλῆοϲ· τότε δὲ Ζεὺϲ Ἕκτορι δῶκεν
ᾗ κεφαλῇ φορέειν, ϲχεδόθεν δέ οἱ ἦεν ὄλεθροϲ.
πᾶν δέ οἱ ἐν χείρεϲϲιν ἄγη δολιχόϲκιον ἔγχοϲ,
βριθὺ μέγα ϲτιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
ἀϲπὶϲ ϲὺν τελαμῶνι χαμαὶ πέϲε τερμιόεϲϲα.
λῦϲε δέ οἱ θώρηκα ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων.
τὸν δ' ἄτη φρέναϲ εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα,
ϲτῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέι δουρὶ
ὤμων μεϲϲηγὺϲ ϲχεδόθεν βάλε Δάρδανοϲ ἀνήρ,
Πανθοΐδηϲ Εὔφορβοϲ, ὃϲ ἡλικίην ἐκέκαϲτο
ἔγχεϊ θ' ἱπποϲύνῃ τε πόδεϲϲί τε καρπαλίμοιϲιν·
καὶ γὰρ δὴ τότε φῶταϲ ἐείκοϲι βῆϲεν ἀφ' ἵππων
πρῶτ' ἐλθὼν ϲὺν ὄχεϲφι, διδαϲκόμενοϲ πολέμοιο·
ὅϲ τοι πρῶτοϲ ἐφῆκε βέλοϲ Πατρόκλειϲ ἱππεῦ,

---

V. L. 788 τοι omitt. D. ἐνι AD. — 789 ὃ μὲν C. κατα H. — 790 ἀντεβόληϲε ACDEG. — 791 ὄπιθεν ACEHL Vrat. A. Et. Mg. 628. 10. ὄπιϲθε D Lips. Flor. πλῆξε DL Lips. Flor. εὐρέα LS. — 792 ϲτρεφεδίνηθεν AC. — 794 ἡ δὲ C. εἶχε D. ὑφ': ἐφ' S. — 797 μεαίνεϲθαι G. — 798 χάριέν G. ΚΑΡΊЄΝ Syr. — 799 ἀχϊλῆοϲ C. — 800 ἐν κεφαλῇ S. — 801 ἐάγη L. χείρεϲϲ' ἐάγη Vrat. A. δολιχόϲκιον A. — 803 omitt. G. ϲυν D. πέϲεν D. — 805 ὑπο ACHL. ΥΠΟ Syr. — 806 ὄπιθε E. ὄπιϲθεν H. — 807 μεϲϲηγὺϲ ACDHL Mor. Townl. μεϲϲηγὺ G Syr. μεϲϲηγὺϲ ἢ μεϲϲηγὺ Eust. — 808 πανθοΐδηϲ L: ceteri πανθοίδηϲ. ΗΛΥΚΙΗΝ Syr. ἡλικίῃ Vrat. A. — 809 πόδεϲϲι τὲ H. καρπαλίμοιϲι ACDGH Syr. καρπαλίμηϲιν L. — 810 δήποτε ACDEGS et Heynii libri. δὴ τότε HL. ΔΗΤΟΤЄ Syr. — 812 πρῶτον L.

---

A. c. 801 οὕτω πᾶν δέ οἱ, ἐν δέ τιϲι τῷ δέ οἱ Didymus. — 807 ϲχεδόθεν βάλε: ϲχεδὸν οὔταϲε Zenodotus, vide Schol. P 15. — 810 δὴ τότε Aristarchus: alii δή ποτε.

οὐδὲ δάμαϲϲ᾽· ὃ μὲν αὖτιϲ ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ
ἐκ χροὸϲ ἁρπάξαϲ δόρυ μείλινον, οὐδ᾽ ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ᾽, ἐν δηιοτῆτι.
Πάτροκλοϲ δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμαϲθεὶϲ
ἂψ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Ἕκτωρ δ᾽ ὡϲ εἶδεν Πατροκλῆα μεγάθυμον
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέι χαλκῷ,
ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ ϲτίχαϲ, οὖτα δὲ δουρὶ
νείατον ἐϲ κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲε.
δούπηϲεν δὲ πεϲών, μέγα δ᾽ ἤκαχε λαὸν Ἀχαιῶν.
ὡϲ δ᾽ ὅτε ϲῦν ἀκάμαντα λέων ἐβιήϲατο χάρμῃ,
ὥ τ᾽ ὄρεοϲ κορυφῇϲι μέγα φρονέοντε μάχεϲθον
πίδακοϲ ἀμφ᾽ ὀλίγηϲ· ἐθέλουϲι δὲ πιέμεν ἄμφω·
πολλὰ δέ τ᾽ ἀϲθμαίνοντα λέων ἐδάμαϲϲε βίηφιν·
ὡϲ πολέαϲ πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδηϲ ϲχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,
καί οἱ ἐπευχόμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Πάτροκλ᾽, ἦ που ἔφηϲθα πόλιν κεραϊζέμεν ἁμήν,
Τρωιάδαϲ δὲ γυναῖκαϲ ἐλεύθερον ἦμαρ ἀπούραϲ
ἄξειν ἐν νήεϲϲι φίλην ἐϲ πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόϲθ᾽ Ἕκτοροϲ ὠκέεϲ ἵπποι
ποϲϲὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸϲ
Τρωϲὶ φιλοπτολέμοιϲι μεταπρέπω, ὅ ϲφιν ἀμύνω

V. L. 813 οὐδὲ δάμαϲϲ᾽: οὐδ᾽ ἐδάμαϲϲ᾽ ACEH Cant. Vrat. A. Mosc. 2. Rom. οὐδ᾽ ἐδάμαϲ᾽ D. ΟΥΔΕΔΑΜΑϹ Syr. ὃ μὲν C. οὐ μὲν G. αὖθΗ CG. — 814 ὑπέμεινε ACDEGH Syr. — 815 ἐόντα L. — 816 omitt. 1c. in textu, habet in marg. man. rec. — 817 ἂψ δ᾽ H. ΑΨΔ᾽ Syr. — 8 8 ΕΙ͂ΔΕ Syr. Lips. — 820 δέ οἱ H Syr. οὖτα EHL. — 821 διὰ πρὸ DG. δϊαπρο C. διαπρὸ AEHL Syr. Rom. ἔλαϲϲε ACGH Syr. — 822 δούπηϲε Eust. 1087, 56. 1123, 8. — 824 ὥ τ᾽ ACDEHLS Syr. Lips. Harl. Townl. Vrat. b. d. A. Mosc. 2. Rom. τώ τ᾽ G Flor. ὄρεοϲ ἐν L. μάχεϲθαι L Syr. — 825 ἀμφολίγηϲ D (ὑφέν 2. man.). πινέμεν G Flor. — 826 βίηφι ADHL. βίηφι CEG. ΒΙΗΦΙΝ Syr. — 827 πέφνοντα libri mei. — 828 ἔγχεϊ: ἄορι Schol. Π 117. — 829 πτερόεντα προϲηύδα ACLS Syr. Cant. Barocc. Mor. Lips. Vrat. b. A. Mosc. 2. πτερόεντ᾽ ἀγόρευε(ν) DGH et nonnulli apud Heynium. — 830 bis scriptus est in Syr. ἁμήν: ἀμήν D 1. man. EGL. αἰπὴν D sup. ἄμμιν Harl. ἁμῖν Cant. — 831 δὲ omitt. L. ἦμαρ D. — 834 ΠΟΛΕΜΙΖΈΜΕΝ Syr. — 835 τρῳϲὶ L. ὅ, ϲφιν AC. ὅ ϲφιν (c supra) L. ὅϲϲφϊν H. ὉϹϹΦΙΝ Syr.

A. c. 827 πέφνοντα Aristarchus: πεφνόντα Tyrannio.

ἦμαρ ἀναγκαῖον· cὲ δέ τ᾽ ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ᾽, οὐδέ τοι ἐcθλὸc ἐὼν χραίcμηcεν Ἀχιλλεύc,
ὅc πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι·
μή μοι πρὶν ἰέναι Πατρόκλειc ἱπποκέλευθε
νῆαc ἔπι γλαφυράc, πρίν γ᾽ Ἕκτοροc ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ cτήθεccι δαΐξαι.
ὥc πού cε προcέφη, cοὶ δὲ φρέναc ἄφρονι πεῖθε.
τὸν δ᾽ ὀλιγοδρανέων προcέφηc Πατρόκλειc ἱππεῦ·
ἤδη νῦν Ἕκτορ μεγάλ᾽ εὔχεο· cοὶ γὰρ ἔδωκε
νίκην Ζεὺc Κρονίδηc καὶ Ἀπόλλων, οἵ με δάμαccαν
ῥηιδίωc· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
τοιοῦτοι δ᾽ εἴ πέρ μοι ἐείκοcιν ἀντεβόληcαν,
πάντέc κ᾽ αὐτόθ᾽ ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντεc.
ἀλλά με μοῖρ᾽ ὀλοὴ καὶ Λητοῦc ἔκτανεν υἱόc,
ἀνδρῶν δ᾽ Εὔφορβοc· cὺ δέ με τρίτοc ἐξεναρίζειc.
ἄλλο δέ τοι ἐρέω, cὺ δ᾽ ἐνὶ φρεcὶ βάλλεο cῇcιν·
οὔ θην οὐδ᾽ αὐτὸc δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέcτηκεν θάνατοc καὶ μοῖρα κραταιή,
χερcὶ δαμέντ᾽ Ἀχιλῆοc ἀμύμονοc Αἰακίδαο.
ὣc ἄρα μιν εἰπόντα τέλοc θανάτοιο κάλυψε·
ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἄϊδοc δὲ βεβήκει,
ὃν πότμον γοόωcα, λιποῦc᾽ ἀνδροτῆτα καὶ ἥβην.

---

V. l. 836 ΗΜΑΡ᾽ Syr. cέδ᾽ ἐνθάδε L Flor. γύπεc L. ἔδωνται E. — 837 οὐδέ τι τοι D. ἀχϊλεύc C. — 838 ὅc που τοι HL. ὃc ποῦ τοι C. ὅc που cοι DG Flor. ὅc που cοὶ S. ὅc πού cοι Barocc. Harl. Vrat. A. Flor. ἐπέτελλεν Cant. Harl. Vrat. A. — 840 ἐπὶ EHL Syr. Cant. Mor. Harl. Vrat. b. d. A. Mosc. 2. ἐπι A. ἀνὰ DS. ἀναγλαφυρὰc G. πρίν γ᾽ ἕκτοροc GLS Syr. et nonnulli apud Heynium: πρὶν ἕκτοροc ACDEH Barocc. Cant. Vrat. b. d. Mosc. 2. conf. C 334. ἀνδροφόνοιο: ΙΠΠΟΔΑΜΟΙΟ Syr. — 841 περι AH. — 842 ὥc που cε ACGHL. ὥc πού cοι D. ΠΟΥϹΟΙ Syr. cοὶ δ᾽ οὐ φρέναc Harl. Vrat. A. πεῖθε ACGH Syr. — 843 πρὸc ἔφηc H. — 844 ἕκτωρ D. ἔδωκε ACDEGL Syr. — 845 με δάμαccαν D Townl. ΜΕΔΑΜΑϹϹΑΝ Syr. ceteri μ᾽ ἐδάμαccαν. — 847 εἴ πέρ ADEH: vulgo εἴπερ cum Et. Mg. 112, 51. — 848 πάντέc κ᾽ A. πάντεc ἂν Rom. αὐτόθ᾽: αὐτίκ᾽ Cant. Vrat. A. — 851 δέ cοι L. ἐνι D. — 852 βέῃ: βαίηι C Vrat. A. — 853 παρέcτηκε CEG Syr. Lips. Flor. Rom. — 854 δαμέντι E. — 855 ὡc A. κάλυψε ACG Syr. — 856 ἄϊδοc δὲ AD. ἄϊδόcδ᾽ ἐβεβήκει HLS Vrat. A. Plut. de Aud. poët. 2. ἄιδόcδε κατῆλθεν Athenaeus XI, 507. — 857 ἀνδροτῆτα ACDEHLS Syr. Lips. Flor. Rom. et plerique Heynii libri. Plato Rep. III, 386 D. Et. Mg. 102, 56. 417, 39. Et. Gud. 45, 30. 234, 57. Hesych. I, 189. Schol. α 1. Athenaeus XI, 507. Cram. An. Par. IV, 403, 10. ἀδροτῆτα G. ἀδροτῆτα καὶ ὕβριν Plutarchus de Aud. poët. 2. ἁδροτῆτα Cant. Mor. conf. Ω 6. H. U. 8.

---

A. c. 842 οὕτω διὰ τοῦ ε̅, cε προcέφη Didymus.

τὸν καὶ τεθνηῶτα προϲηύδα φαίδιμοϲ Ἕκτωρ·
Πατρόκλειϲ, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίϲ δ' οἶδ' εἴ κ' Ἀχιλεύϲ, Θέτιδοϲ πάιϲ ἠυκόμοιο,
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲαι;
ὣϲ ἄρα φωνήϲαϲ δόρυ χάλκεον ἐξ ὠτειλῆϲ
εἴρυϲε, λὰξ προϲβάϲ, τὸν δ' ὕπτιον ὦϲ' ἀπὸ δουρόϲ.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
ἀντίθεον θεράποντα ποδώκεοϲ Αἰακίδαο·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέεϲ ἵπποι
ἄμβροτοι, οὓϲ Πηλῆι θεοὶ δόϲαν ἀγλαὰ δῶρα.

---

# ΙΛΙΑΔΟϹ Ρ.

Οὐδ' ἔλαθ' Ἀτρέοϲ υἱὸν ἀρηίφιλον Μενέλαον
Πάτροκλοϲ Τρώεϲϲι δαμεὶϲ ἐν δηιοτῆτι.
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν' ὥϲ τιϲ περὶ πόρτακι μήτηρ
πρωτοτόκοϲ κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣϲ περὶ Πατρόκλῳ βαῖνε ξανθὸϲ Μενέλαοϲ.
πρόϲθε δέ οἱ δόρυ τ' ἔϲχε καὶ ἀϲπίδα πάντοϲ' ἐίϲην,

---

V. L. 858 τεθνειῶτα ACDEGHS Syr. et Heynii libri: τεθνηῶτα L Mor. προϲηῦδα D. — 859 τί νυ μοι AGL: τί νῦν μοι D. — 860 ἀχιλλεὺϲ G. πάϊϲ CG. ΠΑΙϹ Syr. ceteri παῖϲ. — 861 φθῄη GH. φθείη S. φθαίη Cant. Harl. φθήη ἤγουν φθαίη Eust. ΦΘΉΗ Syr. ἐμῷ: ὑμῶν Schol. X 331. ἀπο CDGHL. — 862 ὡϲ A. — 863 προϲβὰϲ: προβὰϲ CGS Lips. προβιβὰϲ Vrat. A. ἀπο L. — 864 ἐπ' ἢ μετ' Eust. — 866 ἱέμενοϲ βάλλειν E. — 867 ἄβροτοι L Townl. ὃϲ πηλῆϊ G.

---

A. c. 864 ἐκ πλήρουϲ τὸ δαμεντ (sic) ἀρίϲταρχοϲ Didymus, conf. H. T. 398. — 858 διὰ τοῦ η τὸ τεθνηῶτα ἀρίϲταρχοϲ Didymus. — 867 τινὲϲ γράφουϲιν „ἤματι τῷ, ὅτ' ἔγημε Θέτιν λιπαροκρήδεμνον" Schol. V.

---

V. L. 1 οὐδ': οὐκ L. ἀτρέωϲ Harl. ἀρηΐφιλον A. — 2 τρώεϲϲι L. — 3 δια A. — 4 ἀμφι D. ἂρ ADEGHL Apoll. Soph. 27, 26. 133, 30. AP Ambr. βαῖνεν C. — 6 περι A. — 7 δόρατ' G. δούρατ' H. πάντοϲε ἴϲην DLS Townl. Lips. Vrat. A. πάντοϲε ἶϲην A. ΠΑΝΤΟϹΕ ΙϹΗΝ Ambr.

---

A. c. 7 οἱ: οὗ Zenodotus.